DUKE UNIVERSITY LIBRARY

PROBEN
aus griechischen Handschriften
und Urkunden

24 Tafeln in Lichtdruck

zur ersten Einführung in die griechische Paläographie

für Philologen und Historiker

herausgegeben von

Dr. Franz Steffens

ord. Professor an der Universität FREIBURG (Schweiz).

INHALT:

1. Saec. IV. ante Chr. Timotheus.
2. 163 ante Chr. Bittgesuch.
3. Saec. I. ineunte. Homer.
4a. A. D. 145. Schuldschein.
4b. A. D. 346. Brief.
5. Saec. V. Dio Cassius.
6. A. D. 512. Dioscorides.
7. A. D. 545. Schuldschein.
8. A. D. 895. Plato.
9. A. D. 949. Evangeliarium.
10. A. D. 967. Psalterium.
11. A. D. 1022. Evangeliarium.
12. A. D. 1053. Privaturkunde.
13. A. D. 1073. Jos. Flavius.
14. A. D. 1175. Basilius.
15. A. D. 1255. Theophylakt.
16. A. D. 1257. Privaturkunde.
17. A. D. 1317. Aristides.
18. A. D. 1344. Thucydides.
19. A. D. 1362. Plutarch.
20. A. D. 1374. Xenophon.
21. A. D. 1402. Plutarch.
22. A. D. 1415. Plutarch.
23. A. D. 1440. Herodot.
24. A. D. 1493. Aristoteles.

P.P.R.
Z
114
.S85
1912

TRIER, 1912.

Druck und Verlag: Kunst- und Verlagsanstalt SCHAAR & DATHE, Komm.-Ges. a. Akt.

DUKE UNIVERSITY LIBRARY

Proben aus griechischen Handschriften und Urkunden

24 Tafeln in Lichtdruck, zur ersten Einführung in die griechische Paläographie für Philologen und Historiker, herausgegeben von **Dr. Franz Steffens,** ord. Professor an der Universität Freiburg (Schweiz).

I. Saec. IV. ante Chr. — Timotheus von Milet, Die Perser. Nicht datiert; aus paläographischen Gründen (wegen der Form der Buchstaben) schreibt man den Papyrus dem 4. Jahrh. vor Chr. zu. Gefunden von L. Borchardt bei Abusir in Ägypten. — Epigraphische Schrift. Papyrus. Ich entnehme die Abbildung, mit gütiger Erlaubnis des Herausgebers und des Verlegers, der Lichtdruckausgabe: *Der Timotheos-Papyrus,* herausgegeben von U. von Wilamowitz-Möllendorff; Verlag J. C. Hinrichs, Leipzig 1903. Siehe die Transkription des Textes in jener Ausgabe, und in der kleinen Ausgabe desselben Verfassers, *Timotheos, Die Perser,* Leipzig 1903; und in den Faksimiles der *New Palaeographical Society,* Taf. 22.

βασιλευς εις φυγην ορμωντα παμμιγη στρατον
γονυπετης αικιζε σωμα φατο δε κυμαινων τυχαισιν
ιω κατασκαφαι δομων σειριαι τε ναες Ελλανιδες αι κα
τα μεν ηλικα ωλεσατε ηβαν νεων πολυανδρον ναες δε
ουκι οπισσοπορευτον αξουσιμ. πυρος δε αιθαλοεμ. μενος
αγριωι σωματι φ̣ε̣ξ̣ε̣ις στονοεντα δε αλγη εσται Περσιδι
χωραι ω βαρεια συμφορα α μ. ες Ελλαδα ηγαγες αλλ ιτε
μηκετι μελλετε ζευγνυτε μεν τετρακον ιππων
οχημα οι δε αναριθμον ολβον φορειτ επ απηνας πιμπρατε δε
σκηνας μηδε τις ημετερου γενοιτο ονησις αυτοισι πλουτου οι δε
τροπαια στησαμενοι Διος αγνοτατον τεμενος Παιανα εκελα
δησαν ιηιον ανακτα συμμετροι δ επεκτυπεον ποδων υψικροτοις
χορειαις

Αλλ ω χρυσεοκιθαριν αεξων μουσαν νεοτευχη εμοις ελθε επικουρος
υμνοισιν ιηιε Παιαν ο γαρ μ. ευγενετας μακραιων Σπαρτας μεγας
αγεμων βρυων ανθεσιν ηβας δονει λαος επιφλεγων ελαι τε αιθοπι
μωμωι οτι παλαιοτεραν νεοις υμνοις μουσαν ατιμω εγω δε ουτε
νεον τινα ουτε γεραον ουτε ισηβαν ειργω των δεκαδυμνων
τους ο δε μουσοπαλαιολυμας τουτους δε απερυκω λωβητηρας
αοιδαν κηρυκων λιγυμακροφωνων τεινοντας ιυγγας πρωτος
ποικιλομουσος οριυσυν ετεκνωσεν υιος Καλλιοπα
Πιεριας ενι Τερπανδρος α επι τωι δεκα τευξε μουσαν
εν ωιδαις Λεσβος δε Αιολιαν Αντισσα γεινατο κλεινον νυν δε
Τιμοθεος μετροις ρυθμοις τε ενδεκακρουματοις κιθαριν
εξανατελλει θησαυρον πολυυμνον οιξας Μουσαν
θαλαμευτοξ̣ν Μιλητος δε πολις νιν α θρεψασα

2. 163 ante Chr. — Bittgesuch. Harmais, ein Einsiedler im Serapeum, dem ein Mädchen namens Tathemis 1300 Drachmen, die es erbettelt hatte, anvertraute, ließ sich von der Mutter des Mädchens, Nephoris, bereden, ihr das Geld auszuhändigen, da Tathemis heiratsfähig sei und eine entsprechende Ausstattung erhalten müsse. Die Mutter tat aber nichts für ihre Tochter, und diese verlangte nun ihr Geld von Harmais. Dieser klagt daher dem Demetrius, Strategus von Memphis, er könne ohne Gefahr nicht in die Stadt gehen, und man möge ihm helfen, das Geld von der Mutter wieder zu erlangen. Geschrieben im 18. Jahre [des Ptolemäus Philometor, 181—146], und zwar, wie aus dem Bittgesuch zu schließen ist, nach dem Monat Mecheir (Januar 26 bis Februar 24). — Unciale, mit Hinneigung zur Kursive. Papyrus. Gefunden in Memphis in Ägypten. Ich entnehme die Abbildung und die Transkription, mit gütiger Erlaubnis von Herrn F. G. Kenyon, den *Greek Papyri in the British Museum,* Facsimiles, I, 18; Catalogue, with Texts, I, 31—33, London 1893.

Διονυσιωι των φιλων και στρατηγωι
πα[ρ]α Αρμαιος των εν τωι μεγαλωι Σαραπιειωι
οντων εν κατοχηι ετος πεμπτον διαζωντα
δε και αφ ων επαιτω εν τωι ιερωι αδικουμαι υπο
Νεφοριτος των απο Μεμφεως του γαρ ταυτης
θυγ[α]τριου Ταθημιος συνδιατριλβοντος εν τωι
ιερωι διαιτωμενον δε και εξ ων ελογευεν
δια δοματων συναγαγουσης δε αυτης < α̅τ
και δουσης μοι αυτας παραθηκην μετα δε τινα
χρονον της Νεφοριτος παραλογισαμενης με
και προενεγκαμε[ν]ης την Ταθημιν ωραν
εχειν ως εθος εστι τοις Αιγυπτιοις περι
. . . . .
την Ταθημ[ι]ν εν τω μεχειρ μηνι του ιηL
αποτεισει [μο]ι παρα[χ]ρημα < β̅υ εφ οις συγχωρη
σαντος μου και δοντο[ς] αυτηι εν τωι θωυθ μηνι
τας α̅τ < ουδεν τω[ν] διωμολογημενων πεποηκεν
δι ην αιτιαν περισπ[ω]μενος υπο της Ταθημιος
και απαιτουμενος τας α̅τ συμβαινει μη δυνασθαι
καταβηναι εις Μεμφι[ν] προς αναγκαιας χρειας
αξιω ουν σε μη υπεριδειν με περισπωμενον
μισοπονηρησαι τε και εφ οις διαπεπρακται
επι παραλογισμωι εαν σοι φαινηται συνταξαι
ανακαλεσασθαι αυτην επι σε καν ηι οια γραφω
επαναγκασαι παραχρημα τα δικαια μοι ποησαι
οπως και αυτος τηι Ταθ[η]μει αποδους μη περισπωμαι
τουτου δε γενομενου τευξομαι βοηθειας
ευτυχει

Zeile 3: διαζωντα sollte lauten: διαζωντος. — Zeile 6: συνδιατριλβοντος oder συνδιατριαβοντος. — Zeile 7: Josiah Forshall, der erste Herausgeber, las: διαιτωμενων. — Zeile 8: Unter dem Zeichen für drachma steht noch ein anderes unbekanntes Zeichen. — Zeile 17: Siehe das Zeichen für ετους. Der Name des Königs ist hier, wie in vielen anderen Urkunden, ausgelassen. — Zeile 18: Auch hier ist unter dem Zeichen für drachma noch ein Zeichen. βυ mit einem darübergesetzten Häkchen bedeutet 2400. — Zeile 20: Es ist nicht sicher, dass der Buchstabe vor ουδεν das Zeichen für drachma darstellt.

3. Saec. I. ineunte. — Homer, Odyssee, III, 457—491. Nicht datiert. Die Schrift ist der Schrift des Papyrus CCCLIV des Britischen Museums ähnlich, der um 10 v. Chr. geschrieben wurde. Siehe *Greek Papyri in the British Museum,* Faksimiles II, 6; siehe auch Kenyon, *The Palaeography of Greek Papyri,* Oxford 1899, 82—84. — Unciale. Papyrus. Ich entnehme die Abbildung, mit gütiger Erlaubnis von Herrn E. Maunde Thompson, den Faksimiles der *Palaeographical Society,* II, 182.

. . . . .
οι δ επει ωπτησαν κρε υπερτερα και ερυσαντ .
δαινυνθ εζομενοι· επι δ ανερες εσθλοι ̓ρροντο
οινον ενοινοχοευντες ενι χρυσεοις δεπαεσσιν·
αυταρ επει ποσιος και εδητυος εξ ερον εντο
τοισι δε μυθων ηρχε γερηνιος ιπποτα Νεστωρ·
παιδες εμοι αγε Τηλεμαχωι καλλιτριχας ιππους
ζευξαθ̓ υφ αρματ αγοντες ινα πρησσησιν οδοιο·
ως εφαθ· . . .

Die Glossen am Rande rechts lauten, gemäß der Transkription in den genannten Faksimiles der *Palaeographical Society*:

Zu Vers 468: ζη[νοδοτος?] το . . . . . ν γαρ εφαινετο
. . . . . ειν εκ της μακρας
„ „ 479: β′ α′
οινον και σιτ(ον) εθηκε αμ[μωνιος]

P.P.R.
Z
114
.S85
1912

Zu Vers 483: ου[τως] χερσιν αμ[μωνιος] ερω[τιανος?]
δ ανεβαινε και εξω[πιος?] το ανεβαινε
„ „ 486: οτ[ι] πανημ[εριος] και το λοι[πον] της ημερας
αμ[μωνιος]
„ „ 489: κε αμ[μωνιος] ο δε τοις παρ ξεινια θηκεν εντι[μα]

4a. A. D. 145. — Schuldschein. Apollonius, Sohn des Castor, in der Straße der Bithynier in Heracleia, ein Nachkomme der persischen Ansiedler in Ägypten, bekennt, daß er von Stotoëtis, dem Sohn des Horus, einem Priester, 200 Silber-Drachmen und 15 „artabas" feinen Weizen erhalten hat, die er im Monat Pauni (26. Mai bis 24. Juni) desselben Jahres zurückgeben wird. Datiert zu Heracleia, im Distrikt Themistus, im Bezirk Arsinoë, am 16. Sebastus (= 16. Thoth) des 9. Jahres des Kaisers Titus Aelius Hadrianus Antoninus Augustus Pius (= 13. Sept. 145). Da Apollonius nicht schreiben kann, so hat Alcimus, Schreiber des Registratur-Amtes in Heracleia, für ihn unterschrieben. — Kursive. Papyrus. Unser Faksimile ist etwas vergrößert. Gefunden in Socnopaei Nesus (Dimeh) in Ägypten. Ich entnehme die Abbildung und die Transkription, mit gütiger Erlaubnis von Herrn F. G. Kenyon, den *Greek Papyri in the British Museum,* Facsimiles II, 54a; Catalogue, with Texts, II, 218—219, London 1898.

Ετους ενατου αυτοκρατορος καισαρος Τιτου Αιλιου
Αδριανου Αντωνινου Σεβαστου Ευσεβους
μηνος Σεβαστου ις̄ Θωθ ις̄ εν Ηρακλεια της
Θεμιστου μεριδος του Αρσινοειτου νομου Ομολογει
Απολλωνιος Καστορος [τ]ου Σαμβα απο αμφοδου
Βιθυνων αλλων τοπων Περσης της επιγονης
ως L λβ ουλη δακτυλω προτω χειρος αριστερας
Στοτοητι Ωρου του Πανεφρεμμεως ιερει ως L λα
ουλη δακτυλω δευτερω χειρος δεξιας εχιν
παρ αυτου τον ομολογουντα παραχρημα δια χει
ρος χρησιν εντοκον αργυριου κεφαλαιου δρα
χμας διακοσιας και πυρου εν γενει νεου καθα
ρου αδολου αρταβας δεκαπεντε μετρω δρο
μω τετραχοινικω ων και την αποδωσιν ποι
ησασθω ο ομολογων τω Στοτοητει εν μηνι
Παυνι του ενεστωτος θS Αντωνινου Καισαρος
του κυριου ανυπερθετως γεινομεν[ης] της
πραξεως τω Στοτοητει εκ τε του ομολογουντος
και εκ των υπαρχοντων αυτω παντων καθα
περ εγ δικης Απολλωνιος Καστορος εχω παρα
του Στοτοητιος τας προκιμενας αργυριου δραχμας
διακοσιας και πυρου αρταβας δεκαπεντε και
αποδοσω εν μηνι Παυνι του ενεστωτος ετους
καθως προκιται Αλκιμος γρ̣ του προκιμενου γραφει°
εγραψα υπερ αυτου φαμενου μη ειδεναι γραμματ[α]
Εντεταˣ δια του εν Ηραˣ γρ̣

Zeile 7. 8: Man beachte das Zeichen für ετων. — Zeile 7. 9: In diesen Urkunden werden in der Regel nicht nur das Alter der Kontrahenten, sondern auch etwaige körperliche Merkmale angegeben (in unserer Urkunde, dass sie eine Narbe an einem Finger haben). — Zeile 12: πυρου εν γενει = Weizen „in natura" (im Gegensatz zu dem anderen Teil der Anleihe, der „in Geld" ist). — Zeile 13. 14: Es gab in Ägypten verschiedene Arten des Artaba-Maßes; eines davon wurde mit δρόμῳ bezeichnet. Siehe *Greek Papyri in the British Museum,* Catalogue, with Texts, II, 257. — Zeile 16: Das Zeichen nach θ (= 9) kommt oft für ετους vor. Vgl. Zeile 23. — Zeile 24: Siehe die Abkürzungen für γραμματευς und γραφειου. — Zeile 26: Siehe die Abkürzungen für εντεταχται (von εντασσω), Ηρακλεια und γραφειου.

4b. zirka **A. D. 346. — Brief.** Iovinus schreibt seinem „Bruder" Ammeneos (in anderen Briefen meistens Abinnaeus genannt), er möge den *praepositus,* den *princeps,* den *actuarius* und die anderen Beamten recht bald ersuchen, einer Waise die ihr zukommenden 10 „artabas" Gemüsesamen zu geben; die Waise wollte zum *dux* gehen; er aber (Iovinus), der mit allen Menschen in Frieden leben möchte, hat sie bisher davon abgehalten; er und seine Familie grüßen die Frau und die Kinder des Ammeneos. Das ungefähre Datum des Briefes erhellt aus anderen noch erhaltenen Briefen des Flavius Abinnaeus. Dieser war *praefectus castrorum* in Dionysias in Ägypten. Die datierten Briefe seiner Korrespondenz gehen vom Jahre 343 bis zum Jahre 351; die meisten sind vom Jahre 346. — Kursive. Papyrus. Ich entnehme die Abbildung und die Transkription, mit gütiger Erlaubnis von Herrn F. G. Kenyon, den *Greek Papyri in the British Museum,* Facsimiles II, 96; Catalogue, with Texts, II, 287—289.

Κυριω μου αδελφω Αμεν
νεωτι Ἰοβινος
του προσειπειν σαι εσπευσα
δια τουτων μου των γραμ
ματων ευχομενος τη θεια
προνοια υγιαινοντι σοι
και ευθυμου̣ντι αποδοθη
ναι τα παρ εμου̣ γραμματα
επιτα γραφω τη ση χρησ
τοτητι οπως σπου̣δασης
και συμβουλευσης τω πραι
ποσιτω και τω πριγκεπι και
ακτουαριω και τοις λοι
ποις υπευθυνοις παρασ
χωσι τω ιδιω ρογατω
τας του̣ λαχαναςπερμου̣
του ορφαγου̣ αρταβας δεκα
εμοι τα μεγιστα χαριζο
μενος αει γαρ εγω χαρειν
εχω φιλειασειν πασι και
μη εχθραν εχειν προς
τινα̣ εβουλετο γαρ ο ορφα
ν[ος] απελθειν προς τον
κ[υρ]ι[ον] μου̣ τον δο[υ]κα κ[αι]
δι . . . . περι του̣το̣ και α̣χρεις
δευρ[ο] επεσχον το πρα
γμα προσειπε παρ εμου
την κυριαν μου την συμβιον σου̣
και τα παιδια σου και παντας
ηδεως κατ ονομα ερρωσθαι
σε ευχομαι πολλοις χρονοις
κυριε αδελφε

Am Rande links steht, von oben nach unten: πολλα ασπαζεται υμας η συμβιος μου και Σατορνιλος και παντες οι ημετεροι.

Auf der Rückseite steht: κυριω μου αδελφω (die anderen Worte sind nicht mehr vorhanden).

Zeile 3: σαι steht für σε. — Zeile 14: vor παρασχωσι ist zu ergänzen οπως. — Zeile 15: τω ιδιω ρογατω bedeutet wohl „auf ihr (der Waise) Verlangen". — Zeile 24; Das κ nach δουκα ist über δι geschrieben. — Zeile 25: Vielleicht διδαξαι. — Es scheint wenigstens, daß αχρεις zu lesen ist (für αχρις). — Zeile 30: ηδεως wahrscheinlich für ιδιως.

5. Saec. V. — Dio Cassius, Historiae Romanae, lib. LXXIX, 14,2—16,2. Nicht datiert. Alle Fragmente der Handschrift sind jetzt in Lichtdruck herausgegeben von Pio Franchi de'Cavalieri in *Codices e Vaticanis selecti phototypice expressi* iussu Pii PP. X., vol. IX., unter dem Titel: *Cassii Dionis Cocceiani historiarum Romanarum lib. LXXIX. LXXX quae supersunt,* Rom 1909. — Unciale. Pergament. In der Transkription folge ich der Ausgabe von U. Ph. Boissevain, vol. III, 417—419, Berlin 1901.

(1) (μο)ναρχία ἅτε καὶ πρεσβεύοντι τοῦ Μακρίνου προσήκει, ἐπεὶ δ' ὑπεργήρως εἰμί, ἐκείνῳ αὐτῆς ἐξίσταμαι'" ληρεῖν δέ πως ἔδοξεν, ὥσπερ που καὶ ὁ Μακρῖνος τὸ μέγιστον τῆς γερουσίας ἀξίωμα τοιούτῳ ἀνδρὶ δούς, (10) ὅστις οὐδὲ διαλεχθῆναί τινι ἐν τῷ συνεδρίῳ καλῶς ὑπατεύων ἠδυνήθη, καὶ διὰ τοῦτο τῇ τῶν ἀρχαιρεσιῶν ἡμέρᾳ νοσεῖν προσεποιήσατο. Ὅθεν οὐκ εἰς μακρὰν τῷ Μαξίμῳ τῷ Μαρίῳ τὴν τῆς πόλεως προστασίαν ἀντ' αὐ-(20)τοῦ προσέταξε, καθάπερ ἐπὶ τοῦτο μόνον πολίαρχον αὐτὸν ποιήσας ἵνα μιάνῃ τὸ βουλευτήριον, οὐ κατ' ἐκεῖνο μόνον ὅτι ἐν τῷ μισθοφορικῷ ἐστράτευτο καὶ τὰ τῶν δημίων ἔργα καὶ προσκόπων καὶ ἑκατοντάρχων ἐπε-(30)ποιήκει, ἀλλ' ὅτι καὶ τὴν τῆς πόλεως ἀρχὴν πρὸ τοῦ

τῆς ὑπατείας ἔργου εἰλήφει, τοῦτ' ἔστιν πολίαρχος πρότερον ἢ βουλευτὴς ἐγεγόνει. Ταῦτα γὰρ περὶ αὐτὸν ὥσπερ τὰ καθ' ἑαυτόν, ὅτι τὴν αὐτοκράτορα ἀρχὴν ἱππεύων ἔτι ἡρπάκει, (40) ἐπηλυγασάμενος ἔπραξεν.

Ἐκεῖνά τε οὖν τινες αὐτοῦ οὐκ ἀπεικότως (II) ἐμέμφοντο, καὶ ὅτι ἐπάρχους τόν τε Ἰουλιανὸν τὸν Οὔλπιον καὶ Ἰουλιανὸν Νέστορα ἀπέδειξε, μήτ' ἄλλην τινὰ ἀρετὴν ἔχοντας μήτ' ἐν πολλαῖς πράξεσιν ἐξητασμένους, ἀλλὰ καὶ πάνυ περιβοήτους ἐ-(10)πὶ πονηρίᾳ ἐν τῇ τοῦ Καρακάλλου ἀρχῇ γενομένους διὰ τὸ πολλὰ αὐτῷ τῶν ἀγγελιαφόρων σφᾶς ἡγουμένους πρὸς τὰς ἀνοσίους πολυπραγμοσύνας ὑπηρετῆσαι. Ἀλλὰ ταῦτα μὲν ὀλίγοι ἐλογίζοντο καὶ ἀπ' αὐτῶν οὐ καθαρῶς ἐθάρσουν· (20) οἱ δὲ δὴ πλείους τῶν ἰδιωτῶν πρός τε τὴν διὰ βραχέος παρ' ἐλπίδα τοῦ Ταραύτου ἀπαλλαγὴν καὶ πρὸς τὴν ἐκείνου παραπλησίαν, ἐξ ὧν ὑποδεδείχει σφίσιν, πρὸς πάντα καὶ τὰ λοιπὰ προσδοκίαν οὐκ ἔσχον καιρὸν δι' ὀλίγου οὕτως αὐτοῦ (30) καταγνῶναι, καὶ διὰ τοῦτ' ἰσχυρῶς ἀποθανόντα ἐπόθησαν ὃν πάντως ἄν, εἴπερ ἐπὶ πλεῖον ἐβεβιώκει, διὰ μίσους ἐσχήκεισαν. Καὶ γὰρ τρυφερώτερόν πως ζῆν ἤρξατο, καὶ τῶν διαμεμφομένων τι αὐτοῦ ἐπεστρέφετο. Τὸν μὲν γὰρ Ματερνια-(40)νὸν τόν τε Δάτον οὐκ εὐλόγως μέν (τί γὰρ ἠδικήκεσαν τὸν αὐτοκράτορά σφῶν περιέποντες;)

6. zirka **A. D. 512.** — **Pedanius Dioscorides,** Über Pflanzen und Wurzeln. Geschrieben in Konstantinopel für Anicia Juliana, Tochter des Flavius Anicius Olybrius (im Jahre 492 einige Monate lang Kaiser des Westens) um das Jahr 512. Der ganze Kodex ist jetzt in Lichtdruck herausgegeben in *Codices graeci et latini photographice depicti,* Tom. X., unter dem Titel *Dioscurides. Codex Aniciae Julianae picturis illustratus, nunc Vindobonensis Med. Gr. I.* Praefati sunt Antonius de Premerstein, Carolus Wessely, Josephus Mantuani. Leiden 1906. Siehe auch Vogel-Gardthausen, *Die griechischen Schreiber des Mittelalters und der Renaissance,* Leipzig 1909 (XXXIII. Beiheft zum Zentralblatt für Bibliothekwesen), 203 und 473. — Unciale. Pergament. Ich entnehme die Abbildung und die Transkription, mit gütiger Erlaubnis von Herrn E. Maunde Thompson, den Faksimiles der *Palaeographical Society,* I, 177. Unser Faksimile ist etwas verkleinert.

κενταυριον το μεγα Κενταύριον τὸ μέγα.
οι δε . ναρκην καλουσιν . οι δε . λιμνησιον . οι δε . μαρωνιον
οι δε . πληκτρωνιας . οι δε χειρωνιας . οι δε . λιμνηστις
προφηται . αιμα Ηρακλεους . Ρωμαιοι . φιερ'ρει . οι δε : ουνιφερα
οι δε . φελτερ'ραι :
Φυλλα εχει καροια βασιλικη παραπλησια προμηκη χρωματι
χλωρα ως βραμ'βης . το δε περιφερες αυτων εντετμηται
ωσπερ πριων . καυλον δε εχει ως λαπαθου διπηχη και
τριπηχη . παραφυαδας απο της ριζης εχοντα πολλας εφ ων
κεφαλαι ομοιαι μηκωνι ϋπομηκεις εν τω περιφερει
ανθος κυανον καρ'πος δε ομοιος κνηκω εγ'κειμενος
ωσπερ εν εριωδεσιν τοις ανθεσιν . ριζα παχεια . στεραια
βαρεια περι πηχεις δυο μεστη χυλου δριμεου μετα ποσης
γλυκυτητος ερυθρους . ομοιως και ο χυλος ερυθρος
φιλει δε επι γην ευηλιον δρυμους και γεολυφα . πλεονα
ζει δε εν Λυκια και της Πελοποννησσου εν Ηλιδι και
Αρκαδια και Μεσσηνη και περι Φολοην και Λυκειην και
Σμυρνεον . αρμοζει δε η ριζα ρηγμασιν πλευριτικοῖς
δύςπνοια βηχι παλαιως πάσμασιν αιμοπτυεικοῖς
απυρέτοις μετ' οίνου . πυρέσσουσι μετ' υδατος
δραχμαι δυο της ρίζης λείαι διδόμεναι και προς στρό
φους ομοίως και ϋστέρας αλγήματα . άγει δε και έμ
μηνα σχῆμα κολ'λυρίου ξυσθεῖσα και προστεθεῖσα
τη υστέρα ό τε χυλὸς τα αυτὰ ποιεῖ . έστιν δὲ και τρα
χυσματικη ϋγρά μεν κοπεῖσα ξηρά δε προβραχεῖσα και
ούτως κοπεῖσα . συνάγει δὲ και κολ'λᾶ και τα εψόμενα
δε κρέα συνάγει . εάν τις αυτὴν κόψας συνεψήσῃ .
οι δε εν Λυκία χυλίζοντες χρῶνται αντι λυκίου :

7. A. D. 545. — **Schuldschein.** Aurelius Cheides, Sohn des Phoebammon, und seine Mutter Sophia, aus Hermopolis, bekennen, daß sie von Aurelia Nemesilla, bei der sie noch eine frühere Schuld stehen haben, 4 solidi weniger 24 κεράτια geliehen haben. Datiert den 7. Pauni (26. Mai bis 24 Juni), in der VIII. Indiktion, nach dem Konsulat des Flavius Basilius (= 1. Juni 544 oder wahrscheinlicher 545). — Kursive. Papyrus. Ich entnehme die Abbildung und die Transkription, mit gütiger Erlaubnis von Herrn F. G. Kenyon, den *Greek Papyri in the British Museum,* Facsimiles, III, 87; Catalogue, with Texts, III, 271—272, London 1907.

P
X μετα την υπατειαν Φλαυιου Βασιλειου του πανευφημου Παυνι : ζ : η : ινδικ/ ‖ Αυρηλιοι Χειδης Φοιβαμμωνος εξης υπογραφων και η τουτου μητηρ Σοφια Ταυρινου ‖ μητρος Κυριλλουδος αμφοτεροι ορμωμενοι απο της Ερμουπολιτων Αυρηλια ‖ Νεμεσιλλη Φοιβαμμωνος τη ευγενεστατη απο της αυτης πολεως χαιρειν κυριας ουσης ‖ (5) και βεβαιας της προτερας ημων υποθηκης της ουσης παρα σοι της και την ιδιαν ισχυν ‖ και δυναμιν εχουσης εφ αις [π]εριεχει διαστολαις πασαις αχρι αποδοσεως ‖ του εν αυτη χρεους και επιλυσεως τουτου και νυν ομολογουμεν αλληλεγγυοι οντες ‖ κ[αι] ἀλληλα[ν]αδοχοι εσχηκεναι κ[α]ι δεδανεισθαι παρα σου εις ιδιαν ημων και αναγκαιαν ‖ χρειαν δια χειρος εξ οικου σο[υ] κεφαλαιου χρυσου νομισματια δεσποτικα ‖ (10) [. . .]ιγ[.]α τεσσαρα παρα κερατια εικοσιτεσσαρα ζυγω δημοσιω της αυτης ‖ [π]ολεως γιν̄ χρ/ νο δ π' κερ' κδ : απερ σοι αποδωσομεν εξ αλληλεγγυης οποταν ‖ [β]ουληθειης ανγατιρρητως και αναμφισβολως και απροφασιστως και ουχ ο ημας
]ησε[.]ι γνωναι σοι υπερανω επικερδιας των αυτων
. . . . . .
P
Auf der Rückseite: X Χειδου Φοιβαμμωνος και της [μητρος Σοφιας

Zeile 1: Siehe die Abkürzung für ινδικτιωνος. — Zeile 11: Siehe die Abkürzungen für die Worte γινεται χρυσου νομισματια δ παρα κερατια κ δ (die Summe, die vorher in Worten ausgeschrieben war, ist in Zahlzeichen wiederholt). Das Wort γινεται oder γινονται wird gesetzt, wenn die Gesamtsumme angegeben wird. — Zeile 12: ανγατιρρητως, wie es scheint, für αναντιρρητως.

8. A. D. 895. — **Plato,** Phaedrus. Vollendet im November 6404 nach Erschaffung der Welt, von dem Kalligraphen Johannes. Geschrieben für Arethas von Patras, später Erzbischof von Caesarea. Siehe Vogel-Gardthausen, *Die griechischen Schreiber* usw., 203. Dr. E. D. Clarke kaufte den Kodex 1802 im Kloster des hl. Johannes auf der Insel Patmos. Der ganze Kodex ist jetzt in Lichtdruck herausgegeben in *Codices graeci et latini photographice depicti,* tom. III.—IV., unter dem Titel: *Plato. Codex Oxoniensis Clarkianus 39.* Praefatus est Thom. W. Allen. Leiden 1898—1899. — Minuskel. Pergament.

Φαῖδρος ἢ περὶ καλοῦ. Ἠθικός.

Ὦ φίλε Φαῖδρε, ποῖ δὴ καὶ πόθεν; Παρὰ Λυσίου, ὦ Σώκρατες, τοῦ Κεφάλου· πορεύομαι δὲ πρὸς περίπατον ἔξω τείχους· συχνὸν γὰρ ἐκεῖ διέτριψα χρόνον καθήμενος ἐξ ἑωθινοῦ· τῶι δὲ σῶι καὶ ἐμῶι ἑταί-(5)ρωι πειθόμενος Ἀκουμένωι κατὰ τὰς ὁδοὺς ποιοῦμαι τοὺς περιπάτους· φησὶ γὰρ ἀκοπωτέρους εἶναι τῶν ἐν τοῖς δρόμοις. Καλῶς γάρ, ὦ ἑταῖρε, λέγει· ἀτὰρ Λυσίας ἦν ὡς ἔοικεν, ἐν ἄστει. Ναί, παρ' Ἐπικράτει, ἐν τῆιδε τῆι πλησίον τοῦ Ὀλυμπίου οἰκιαι τῆι Μορυχίαι. Τίς οὖν δὴ ἦν ἡ διατριβή; ἢ δῆλον ὅτι τῶν λόγων ὑμᾶς Λυσίας εἱστία; (10) Πεύσει, εἴ σοι σχολὴ προϊόντι ἀκούειν. Τί δάι; οὐκ ἂν οἴει με κατὰ Πίνδαρον καὶ ἀσχολίας ὑπέρτερον πρᾶγμα ποιήσεσθαι τὸ σήν τε καὶ Λυσίου διατριβὴν ἀκοῦσαι; Πρόαγε δή. Λέγοις ἄν. Καὶ μήν, ὦ Σώκρατες, προσήκουσά γέ σοι ἡ ἀκοή· ὁ γάρ τοι λόγος ἦν, περὶ ὃν διετρίβομεν, οὐκ οἶδ' ὁντινα τρόπον ἐρωτικός· γέγραφε γὰρ δὴ ὁ Λυ-(15)σίας πειρώμενόν τινα τῶν καλῶν, οὐχ ὑπὸ ἐραστοῦ δέ· ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ κεκόμψευται· λέγει γὰρ ὡς χαριστέον μὴ ἐρῶντι μᾶλλον ἢ ἐρῶντι. Ὦ γενναῖος, εἰθε γράψειεν ὡς χρὴ πένητι μᾶλλον ἢ πλουσίωι, καὶ πρεσβυτέρωι ἢ νεωτέρωι, καὶ ὅσ' ἄλλα ἐμοί τε πρόσεστι καὶ τοῖς πολλοῖς ἡμῶν· ἦ γὰρ ἂν ἀστεῖοι καὶ δημωφελεῖς εἶεν οἱ λόγοι· ἔγω-(20)γ' οὖν οὕτως ἐπιτεθύμηκα ἀκοῦσαι, ὥστ' ἐὰν βαδίζων ποιῆι τὸν περίπατον Μέγαράδε, καὶ κατὰ Ἡρόδικον προσβὰς τῶι τείχει πάλιν ἀπίηις, οὐ μή σου ἀπολειφθῶ. Πῶς λέγεις, ὦ βέλτιστε Σώκρατες; οἴει με, ἃ Λυσίας ἐν πολλῶι χρόνωι κατὰ σχολὴν συνέθηκε, δεινότατος ὢν τῶν νῦν γράφειν, ταῦτα ἰδιώτην ὄντα ἀπομνη-(25)μονεύσειν

ἀξίως ἐκείνου; πολλοῦ γε δέω· καί τοι ἐβουλόμην γ' ἂν μᾶλλον ἢ μοι πολὺ χρυσίον γενέσθαι. Ὦ Φαῖδρε, εἰ ἐγὼ Φαῖδρον ἀγνοῶ, καὶ ἐμαυτοῦ ἐπιλέλησμαι. Ἀλλὰ γὰρ οὐδέτερά ἐστι τούτων· εὖ οἶδα ὅτι Λυσίου λόγον ἀκούων ἐκεῖνος οὐ μόνον ἅπαξ ἤκουσεν, ἀλλὰ πολλάκις ἐπαναλαμβάνων ἐκέλευέν οἱ λέγειν· ὁ δὲ ε-(30)πείθετο προθύμως. Τῶι δὲ οὐδὲ ταῦτα ἦν ἱκανά, ἀλλὰ τελευτῶν παραλαβὼν τὸ βιβλίον ἃ μάλιστα ἐπεθύμει ἐπεσκόπει, καὶ τοῦτο δρῶν, ἐξ ἑωθινοῦ καθήμενος, ἀπειπὼν εἰς περίπατον ἤιει, ὡς μὲν ἐγὼ οἶμαι, νὴ τὸν κύνα, ἐξεπιστάμενος τὸν λόγον, εἰ μὴ πάνυ τίς ἦν μακρός. Ἐπορεύετο δ' ἐκτὸς τείχους, ἵνα μελετώιη. Ἀ-(35)παντήσας δὲ τῶι νοσοῦντι περὶ λόγων ἀκοὴν, ἰδὼν μὲν ἰδὼν

Die Glosse am Rande — in kleinen Uncialbuchstaben — bezieht sich auf den Ausdruck τῶν λόγων εἱστία in Zeile 9; sie lautet nach Thomas Gaisford, *Catalogus Manuscriptorum qui a E. D. Clarkio comparati in bibliotheca Bodleiana adservantur,* Oxford 1812:

Ἀττικὴ ἡ σύνταξις .... μέρους λέγειν. Ἀττικοὶ γοῦν καὶ ἔφαγον τοῦ ἄρτου φασὶν, οὐ τὸν ἄρτον, καὶ ἔπιον τοῦ οἴνου, ἀλλ' οὐ τὸν οἶνον. οὕτως οὖν καὶ ἐνταῦθα εἱστία ὑμᾶς τῶν λόγων. τὸ κοινὸν εἱστία ὑμᾶς τοῖς λόγοις. ὅσοι δὲ λείπειν φασὶ τὴν διὰ πρόθεσιν, ἵν' ἦι εἱστία ὑμᾶς διὰ τῶν λόγων, οὐ κατὰ σκοποῦ βάλλουσιν.

9. A. D. 949. — Evangeliarium, Lukas XVII, 34 — XVIII, 8. Kodex S der Evangelien. Vollendet am 5. Tag, den 1. März, zur 6. Stunde, 6457 nach Erschaffung der Welt, in der VII. Indiktion, von dem Mönch Michael. Siehe Vogel-Gardthausen, *Die griechischen Schreiber* usw., 322. — Liturgische Schrift. Pergament. Zwischen den Zeilen häufig Notenzeichen. Unser Faksimile ist verkleinert.

Περὶ τοῦ κριτοῦ τῆς ἀδικίας.

Ταύτη τῆ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης μιᾶς· εἷς παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται· . . .

Am Rande stehen die Sektionen des Ammonius und die Kanones des Eusebius: 212, V; 213, V; 214, X. — Zeile 1: Die Überschrift bezieht sich auf die unten beginnende Parabel von dem ungerechten Richter. — Zeile 16: τέλος = Das Ende der Lektion des Evangeliums.

10. post A. D. 967. — Psalterium, Ps. 98, 9—99, 5. Die Datierung der Handschrift beruht auf den Ostertafeln, die sich auf fol. 5—7 finden; sie beginnen mit dem Jahr 6475 nach Erschaffung der Welt. Siehe Martini-Bassi, *Catalogus codicum graecorum bibliothecae Ambrosianae,* Mailand 1906, I 136, No. 127. — Minuskel. Pergament. Unser Faksimile ist etwas vergrößert.

Ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος κύριος ὁ θεὸς ἡμῶν.

Ψαλμὸς τῶι Δαυὶδ εἰς ἐξομολόγησιν.

Ἀλαλάξατε τῶι θεῶι πᾶσα ἡ γῆ, δουλεύσατε τῶι κυρίωι ἐν εὐφροσύνηι.

Εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει, γνῶτε ὅτι κύριος αὐτός ἐστιν ὁ θεὸς ἡμῶν.

Αὐτὸς ἐποίησεν ἡμᾶς καὶ οὐχ ἡμεῖς, ἡμεῖς δὲ λαὸς αὐτοῦ καὶ πρόβατα νομῆς αὐτοῦ.

Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις.

Ἐξομολογεῖσθε αὐτῶι, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ, ὅτι χρηστὸς κύριος,

11. A. D. 1022. — Evangeliarium, Matthaeus V, 4—17; Johannes I, 1—14. Unter den Bibelhandschriften: Evan. 348. Vollendet im Dezember, in der V. Indiktion, 6531 nach Erschaffung der Welt. Wahrscheinlich in Süditalien geschrieben. Siehe Martini-Bassi, *Catalogus . . . Ambrosianae,* I 108, No. 93. — Minuskel. Pergament.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται . . .

12. A. D. 1053. — Privaturkunde. Lucas Tromarchus und seine Brüder Pancratius, Nicolaus und Candidus, Söhne des Clepta, schenken dem Leontius, Propst des Klosters der hl. Dreifaltigkeit zu Cava, das Kloster St. Andreas in Calabrien, das zerstört und verlassen war. Datiert 6561 nach Erschaffung der Welt, VI. Indiktion. — Minuskel, mit Hinneigung zur Kursive. Pergament. Ich benutze für die Transkription Fr. Trinchera, *Syllabus graecarum membranarum* usw., pag. 49, No. 40, Neapel 1865, und den *Codex diplomaticus Cavensis,* vol. 7, pag. 193, No. 1175. Siehe auch Giannino Ferrari, *I documenti greci medioevali di diritto privato dell' Italia meridionale* e loro attinenze con quelli bizantini d'Oriente e coi papiri greco-egizii, Leipzig 1910 (in: *Byzantinisches Archiv,* Heft 4).

† Σίγνον χειρὸς Λουκὰ Τρωμάρχου. † Σίγνον χειρὸς Πανκρατίου ἀδελφὸς αὐτοῦ. † Σίγνον χειρὸς Νικολάου ἀδελφὸς αὐτοῦ. † Σίγνον χειρὸς Κάνδιδου υἱοῦ τοῦ Κλέπτη. † Εν ονοματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ἡμεῖς οἱ πρῶγεγραμμένοι Λουκᾶς καὶ Πανκράτιος καὶ Νικόλαος καὶ Κάνδιδος οἱ αὐτάδελφοι, οἱ τὰ σίγνα τοῦ τιμίου σταυροῦ ιδιοχειρὶ ποιήσαντες, τὰ παρακατίοντα εντελλῶμεθα. Ἔχομεν μοναστίριον καὶ τόπον τινὰ εκ γονικῆς ἡμῶν κλη-

(5) ρονομείας εἰς τὴν διακράτισιν τῆς Κάλαβρας· ὅπερ ἀμεληθόντες ἐν τὲς ἡμέραις ταύταις τῶν Φράνκων καὶ πῶς κρατῶμεν αὐτὸν φράνκον καὶ ἐλεύθερον· καὶ παντελὸς ἠφανησθαι καὶ πυρίκαυστον γέγονεν καὶ παντελὸς ἠρίμωται καὶ ἠφάνησθαι. Καὶ ἡ αγία τοῦ θεοῦ ἐκκλησία κεχαλασμικός ἔκειτο καὶ ἀλητούργητος. Εἰδῶτες δὲ (ἡμεῖς) τὴν κατάπτωσιν τοῦ τόπου, καὶ φοβούμενοι διὰ τοῦ θανάτου, σοῖ τῶ ἐυλαβεστάτω καθειγουμένω Λεοντίω τῆς μονῆς τῆς ἁγίας τρίαδος τῆς Κάβας, καὶ τοῖς σοῖς διακατόχοις, ἰδει ἀπεντεύθεν παραδίδομεν καὶ ἀφιέρωμεν τὸ εἰρημένον μοναστίριον· λέγωμεν δεὶ

(10) τὴν μονὴν τοῦ ἀποστόλου Ανδρέου σῦν πᾶση τῆ διακρατήση αὐτοῦ. Ἔστιν δὲ ὁ περιορησμὸς τῆς ἁγίας μονῆς ταῦτης: ἀπὸ μὲν ἀνατολὰς ἄρχεται ἀπὸ τῆς φούρκας τῶν ποταμῶν καὶ ἀναβέννει καὶ ἀποδίδει τὸν μέγαν κρημνὸν καὶ ἀπὸ τῶν κρημνῶν ἀναβέννη ἕως τὴν κεφαλὴν τοῦ μεγάλου Ἄτζου. Καὶ ἀπὸ τοῦ Ἄτζου ὡς κρατεῖ τὰ εἴσα καὶ ρείκτει εις τὴν μεγάλην ὁδὸν, καὶ ἀπὸ τῆς ὁδοῦ σκελλίζει καὶ ρήκτει εἰς τῆν βαθείαν τὴν μεγάλην. Καὶ ἀπὸ τοῦ ἄρκτρου μέρος ἄρχεται ἀπὸ τὴν στράταν τὴν μεγάλην· καὶ

(15) ὡς ὑπάγει ἡ στράτα ἕως τὴν ἀλόνην τοῦ Σικέλου καὶ ὡς καταβέννη τὴν ἀλώνην καὶ δίδει εἰς τὸ σήφωνε· καὶ ἀπὸ τοῦ σήφωνε ἀποδίδει εἰς τὸ ρυάκιν τοῦ Γαννουλούτου καὶ ἀπὸ τοῦ ρυάκειν ὡς καταβέννει καὶ δίδει εἰς τὸ ρυάκειν τοῦ Μαύρουβοῦε· καὶ ἀπὸ τοῦ ρυάκειν τοῦτου ρήκτει εἰς τὴν μεγάλην τύνπαν τῆς Καθθοῦσα· καὶ ἀπὸ τῆς Καθθοῦσα σκελλήζει τὸν βουνὸν καὶ δίδει εἰς τὸν μέγαν ποταμὸν· καὶ ὡς κατέβει ὁ ποταμὸς ἕως τοῦ ποταμοῦ ὃς καταβέννει ἀπὸ τοῦ Κεραμίδι καὶ κλύη.

(20) Δῶμεν καὶ ἀφιέρωμεν σοῖ τῶ προειρημένω οιγουμένω καὶ τοῖς σοῖς διακατόχοις, ἵνα ἔχειτε εξουσίαν ἐν αυτῶ τῶ πρωειρημένω μοναστιρίω ὡς κυριοι καὶ αυθένται ὡς παρ' ἡμῶν ἠλειφῶτες τὴν ἐξουσίαν, τοῦ ἔχειν εξουσίαν σὺ καὶ οἱ ὑπο σοῦ προβαλλόμενοι πάντοτε ποιεῖν ἐν ἀυτῶ, ὁσα οἱ θεῖοι νόμοι παρακελεύονται, ἵνα εὔχεσθαι ἐν τοῖς ἱεροῖς διπτήχοις ὑπερ ημῶν. Μὴ τολμῶμεν δὲ ἡμεῖς ἀπὸ σήμερον ὁρίζην, ἡ ἐνοχλὴν ἔν τινι ἡμῶν· ἂν δὲ φάνωμεν ποτὲ καιρῶ ζήτισιν ποιούμενοι ὑπὲρ τοῦ παρ' ἡμῶν σοῖ ἐγγράφω παραδοθέντος μοναστιρίου,

(25) ὁμολογοῦμεν ἐν πρώτοις εἶναι ἡμεῖς ἀρνῆται τοῦ τιμίου καὶ ζωποιοῦ σταυροῦ, καὶ ὑποκλήνωμεν ζημιοῦσθαι εἰς τὸ διμόσιον νομισματα ιζ', καὶ προς σὲ τὸν ὀνομασθέντα Λεόντιον διδεὶν ἄλλα ζ'. Καὶ οὑτω στέργειν καὶ ἐμμένειν τὸ παρὸν παραδωτηκὸν εἰς αἰώνα αἰώνος. Ἐργάφη δὲ τὸ ὅλον ἦφος παρακλήσει ἡμῶν τῶν πρωηθέντων ἄνθρωπών δια χειρὸς Θεοφειλάκτου προτοπαπᾶ τοῦ ἀστεος ἁγίου Κύρικου ἐν ἔτει ,ςφξά, ινδικτίωνος ς', παρουσία τῶν παρευρεθέντων μαρτύρων. † Νικόλαος ἡγούμενος τοῦ Κεραμήδου μάρτυρ ὑπέγραψα.

(30) † Θεόδορος προτομανδρίτης της Καλαβρας μάρτυρ υπέγραψα.

† Ἀναστάσιος υἱὸς Λουκὰ Τρωμάρχου μάρτυρ υπέγραψα.

† Λούκας αδελφος αὐτοῦ μάρτυρ ὑπέγραψα.

† Λίκαστος τοῦ Οὐρσίνου μάρτυρ ὑπέγραψα.

13. A. D. 1073. — Menaeum. Josephus Flavius, Narratio de Maccabaeis. Vollendet im März, XI. Indiktion, 6581 nach Erschaffung der Welt, von dem Mönch Klemens. Siehe Martini-Bassi, *Catalogus . . . Ambrosianae,* II 978, No. 878, und Vogel-Gardthausen, *Die griechischen Schreiber* usw., 232. Siehe die Ausgabe von Naber (Bibliotheca Teubneriana), VI 291. — Minuskel. Pergament. Aus Thessalien nach Mailand gebracht.

Μηνὶ Αὐγούστω ᾱ.

Διήγησις Ἰωσίππου εἰς (5) τὸ μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων Μακκαβαίων. πάτερ εὐλόγησον.

Φιλοσοφώτατον λόγον ἐπιδείκνυσθαι μέλλων, εἰ αὐτο-(10)κράτωρ ἐστὶ τῶν παθῶν ὁ εὐσεβὴς λογισμός, συμβουλεύσαιμι ἂν ὑμῖν ὀρθῶς ὅπως προθύμως προσέχητε τῇ φιλοσοφίαι. (15) Καὶ γὰρ ἀναγκαῖος εἰς ἐπιστήμην παντὶ ὁ λόγος, καὶ ἄλλως τῆς μεγίστης ὢν ἀρετῆς· λέγω δὴ ὅτι φρονήσεως περιέχει ἔπαινον, (20) εἰ ἄρα τῶν σωφροσύνης κωλυτικῶν παθῶν ὁ λογισμὸς φαίνεται ἐπικρατεῖν, γαστριμαργίας τὲ καὶ ἐπιθυμίας. Ἀλλὰ καὶ τῶν (25) τῆς δικαιοσύνης ἐμποδιστικῶν παθῶν κυριεύειν ἀναφαίνεται, οἷον κακοηθείας τὲ καὶ τῶν τῆς ἀνδρείας ἐμποδιστικῶν (30) παθῶν, θυμοῦ τὲ καὶ (Π) πόνου καὶ φόβου.

Πῶς ἴσως οὖν εἴποιεν ἄν τινες, εἰ τῶν παθῶν ὁ λογισμὸς κρατεῖ, λήθης καὶ ἀγνοίας πῶς (5) οὐ δεσπόζει; γελοῖον ἐπιχειροῦντες λέγειν. Οὐ γὰρ τῶν ἑαυτοῦ παθῶν ὁ λογισμὸς κρατεῖ, ἀλλὰ τῶν τῆς δικαιοσύνης καὶ ἀνδρείας καὶ σω-(10)φροσύνης ἐναντίων, καὶ τούτων οὐχ ὥστε αὐτὰ καταλῦσαι ἀλλ' ὥστε αὐτοῖς μὴ εἶξαι.

Πολλαχόθεν μὲν οὖν καὶ ἀλλαχόθεν ἔχοιμι ἂν ὑμῖν ὑπο-(15)δεῖξαι ὅτι αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ λογισμός, πολὺ δὲ πλέον ἀπὸ τούτων ἀποδείξαιμι ἀπὸ τῆς ἀνδραγαθίας τῶν ὑπὲρ αὐτῆς ἀ-(20)ποθανόντων, Ἐλεαζάρου τὲ καὶ ἑπτὰ ἀδελφῶν καὶ τῆς τούτων μητρός· ἅπαντες γὰρ οὗτοι ὑπὲρ τῶν τοῦ θεοῦ νόμων ἕως θανάτου πόνων (25) καταφρονήσαντες, καὶ ὑπὲρ θεοσεβείας τὸ ζῆν αὐτῶν ὑπεριδόντες, ὑπέδειξαν ὅτι περικρατεῖ τῶν παθῶν ὁ λογισμός. Τῶν μὲν (30) οὖν ἀρετῶν ἔπεστί μοι ἐπαι(νεῖν)

14. A. D. 1175. — **Basilius,** Homiliae in Hexaemeron, VI. VII. Siehe Migne, *Patrologia graeca*, 29, col. 145. Vollendet am 13. September, in der IX. Indiktion, 6684 nach Erschaffung der Welt, vom Schreiber Johannes. — Minuskel. Pergament.

ἀλλὰ μικραῖς τισὶν καὶ ἀμυδραῖς ἐμφάσεσιν δι' αὐτῶν πρὸς βιβασθῆναι· ὥσπερ καὶ δι' ἐ-(5)κάστου τῶν μικροτάτων ἐν ζώοις ἢ ἐν βοτάναις. Ἀρκεσθῶμεν τοῖς εἰρημένοις. Ἐγὼ μὲν εὐχαριστήσας (10) τῷ τὴν μικράν μοι ταύτην διακονίαν τοῦ λόγου χαρισάμενος, ἡμεῖς δὲ τῷ διατρέφοντι ὑμᾶς ταῖς πνευματι-(15)καῖς τροφαῖς, ὃς καὶ νῦν ὑμᾶς οἷον κριθίνω τινὶ ἄρτω τῇ εὐτελείᾳ τῆς ἡμετέρας φωνῆς διέθρεψεν· καὶ (20) διατρέφοι γε εἰς ἀεὶ, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, χαριζόμενος ἡμῖν τὴν φανέρωσιν τοῦ πνεύματος, ἐν (25) Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, (30) ἀμήν.

Λόγος ζ̄.

(5) Καὶ εἶπεν ὁ θεὸς „Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν κατὰ γένος, καὶ πετεινὰ πετώμενα (10) κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ κατὰ γένος". Μετὰ τὴν τῶν φωστήρων δημιουργίαν καὶ τὰ ὕδατα λοιπὸν πλη-(15)ροῦται ζώων, ὥστε καὶ ταύτην διακοσμηθῆναι τὴν λήξιν. Ἀπέλαβεν μὲν γὰρ ἡ γῆ τῶν ἐκ τῶν οἰκείων βλαστημά-(20)των κόσμον· ἀπέλαβεν δὲ ὁ οὐρανὸς τῶν ἄστρων τὰ ἄνθη, καὶ οἱονεὶ διδύμων ὀφθαλμῶν βολαῖς, τῇ συζυγίᾳ (25) τῶν μεγάλων φωστήρων κατεκοσμήθη. Λειπόμενον ἦν καὶ τοῖς ὕδασι τὸν οἰκεῖον κόσμον ἀποδοθεῖναι. Ἦλ-(30)θεν πρόσταγμα, καὶ εὐθὺς ποταμοὶ ἐνεργοὶ,

Die Ausgabe von Migne hat in Zeile I, 3: προβιβασθῆναι; Zeile 12: χαρισαμένω; Zeile 13: ὑμεῖς: Zeile 23: ὑμῖν; Zeile II, 18: τὸν; Zeile 29: ἀποδοθῆναι.

15. A. D. 1255. — **Theophylakt,** In quatuor evangelia enarrationes. Siehe Migne, *Patrologia graeca*, 123, col. 492. Vollendet am 12. Juni, in der XIII. Indiktion, 6763 nach Erschaffung der Welt, vom Mönch Nicander. Siehe Henri Omont, *Fac-similés des manuscrits grecs datés de la Bibliothèque Nationale*, Paris 1891, Taf. 55. — Minuskel. Papier.

Τοῦ αὐτοῦ ἐπιτομὴ διαφόρων ἐξηγητῶν. Εἰς τὸ κατὰ Μάρκον ἅγιον εὐαγγέλιον.

Τὸ κατὰ Μάρκον εὐαγγέλιον, μετὰ δέκα ἔτη τῆς Χριστοῦ ἀναλήψεως συνεγράφη ἐν Ῥώμῃ· ἦν μὲν γὰρ οὗτος ὁ Μάρκος Πέτρου μαθητὴς, ὃν καὶ υἱὸν αὐτοῦ ὁ Πέτρος ὀνομάζει πνευματικὸν· ἐκαλεῖτο δὲ καὶ Ἰωάννης ἀνεψιὸς Βαρνάβα· ἀλλὰ καὶ Παύλου συνέκδημος· τέως μέν τοι Πέτρῳ συνὼν τὰ πλεῖστα (5) καὶ ἐν Ῥώμῃ συνῆν, ἠτήσαντο οὖν αὐτὸν οἱ ἐν Ῥώμῃ πιστοὶ, μὴ μόνον ἀγράφως κηρύσσειν, ἀλλὰ δὲ ἐγγράφως αὐτοῖς ἐκθέσθαι τὴν κατὰ Χριστὸν πραγματείαν. Μόλις οὖν πεισθεὶς συνέγραψε. Τῷ δὲ Πέτρῳ ἀπεκαλύφθη παρὰ θεοῦ, ὅτι ὁ Μάρκος συνέγραψεν εὐαγγέλιον. Ἰδὼν οὖν καὶ ἐπιβεβαιώσας ὡς ἀληθὲς, εἶτα καὶ ἐπίσκοπον αὐτὸν ἐξαπέστειλεν εἰς Αἴγυπτον. Ἔνθα δὴ καὶ κηρύξας, ἐν Ἀλεξανδρείᾳ τὲ ἐκκλησίαν συστησάμενος, τοὺς πρὸς τῷ μεσημβρινῷ κλίματι, πάντας ἐφώτισεν. Ἔστι (10) δὲ ὁ χαρακτὴρ τοῦ εὐαγγελίου σαφὴς· καὶ οὐδὲν ἔχων περινενοημένον· σχεδὸν δὲ κατὰ πάντα τῷ Ματθαίῳ συντρέχει ὁ παρὼν εὐαγγελιστής· πλὴν ὅσον ὁ Ματθαῖος πλατύτερος, καὶ ὅτι ὁ μὲν Ματθαῖος τῆς κατὰ σάρκα γενέσεως τοῦ κυρίου ἐν ἀρχῇ μνημονεύει· οὗτος δὲ ἀπὸ τοῦ προφήτου ἤρξατο Ἰωάννου. Ὅθεν τινὲς, εἰ καὶ περιεργότερον δοκεῖ, τοιοῦτόν τι νόημα εἶπον ἐπὶ τοῖς εὐαγγελισταῖς· ὁ ἐπὶ τῶν Χερουβὶμ καθήμενος θεὸς, ἃ τετραπρόσωπα ἡ γραφὴ λέγει, παρέδωκεν ἡμῖν τετράμορφον τὸ εὐαγγέλιον, (15) ἑνὶ πνεύματι συνεχόμενον. Ὥσπερ οὖν τὰ Χερουβὶμ ἕκαστον, ἓν μὲν πρόσωπον ἔχει ὅμοιον λέοντι, ἕτερον δὲ ἀνθρώπῳ, καὶ ἕτερον ἀετῷ, καὶ ἕτερον μόσχῳ, οὕτως καὶ ἡ τοῦ εὐαγγελικοῦ κηρύγματος πραγματεία. Τὸ μὲν κατὰ Ἰωάννην εὐαγγέλιον ἔχει λέοντος πρόσωπον· βασιλικὸν γὰρ ὁ λέων καὶ ἡγεμονικόν· ὁμοίως οὖν καὶ Ἰωάννης ἀπὸ τοῦ βασιλικοῦ καὶ δεσποτικοῦ ἀξιώματος τῆς θεότητος τοῦ λόγου ἤρξατο, εἰπών „Ἐν ἀρχῇ ἦν ὁ λόγος". Τὸ δὲ κατὰ Ματθαῖον ἀνθρωποπρόσωπον· ἀπὸ γὰρ (20) τῆς κατὰ σάρκα γεννήσεως καὶ ἐνανθρωπήσεως τοῦ λόγου ἤρξατο. Τὸ δὲ κατὰ Μάρκον ἀετῷ παρεικαζόμενον· ἀπὸ γὰρ προφήτου ἤρξατο τοῦ Ἰωάννου· ἡ δὲ προφητικὴ χάρις, προορατικὴ οὖσα καὶ ὀξέως τὰ πόρρω βλέπουσα, ἀετός ἐστι· φασὶ γὰρ τὸν ἀετὸν ὀξυδερκέστατον εἶναι. ὥς τε καὶ μόνον ἐκ τῶν ἄλλων ζώων πρὸς τὸν ἥλιον δύνασθαι ἀτενίζειν μὴ κάμνοντα. Μόσχῳ δὲ ὅμοιον τὸ κατὰ Λουκᾶν, διότι ἀπὸ τῆς ἱερατείας τοῦ Ζαχαρίου ἤρξατο, ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ θυ-(25)μιῶντος· καὶ μόσχος δὲ ἦν ὁ θυόμενος τότε. Ἄρχεται οὖν ὁ Μάρκος τοῦ εὐαγγελίου ἀπὸ τῆς τοῦ προδρόμου διαγωγῆς καὶ ἀναδείξεως. Ἄκουε οὖν τί φησί.

Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ υἱοῦ τοῦ θεοῦ. Ὡς γέγραπται ἐν τοῖς προφήταις· „Ἰδοὺ ἐγὼ ἀποστέλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ".

(30) Ἰωάννην τὸν τελευταῖον τῶν προφητῶν ἀρχὴ εἶναι τοῦ εὐαγγελίου τοῦ υἱοῦ τοῦ θεοῦ φησί. Τὸ γὰρ τέλος τῆς παλαιᾶς ἀρχὴ τῆς νέας διαθήκης. Ἡ δὲ μαρτυρία τοῦ προδρόμου ἀπὸ δύο προφητῶν ἐλήφθη. Τοῦ μὲν γὰρ Μαλαχίου ἐστὶ τὸ „Ἰδοὺ ἀποστελῶ τὸν ἄγγελόν μου πρὸ προ-(σώπου)

16. A. D. 1257. — **Privaturkunde.** Die Brüder Petrus, Georgius und Bartholomaeus, Söhne des Gregorius, verkaufen dem Basilius, Sohn des Nicolaus, zwei Teile eines Hauses, von welchem Basilius schon einen Teil besitzt, zum Preise von 100 Gold-Tareni. Datiert Reggio, 26. November, in der I. Indiktion, 6766 nach Erschaffung der Welt. — Minuskel, stark kursiv. Pergament. Ich benutze für die Transkription Fr. Trinchera, *Syllabus graecarum membranarum* usw., pag. 423, No. 299. Die Unterschriften teilweise unleserlich, da eine dunkle Flüssigkeit darüber gestrichen wurde.

Ἐν ὀνόματι κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀμήν. Ἐν τῷ ,ασνζ΄ ἔτει τῆς αὐτοῦ σωτηριώδους σαρκώσεως, μηνὶ Νοεμβρίῳ κς΄, ἰνδικτίωνος πρώτης, δεσπόζοντος τοῦ κυρίου ἡμῶν Κονράδου δευτέρου, θεοῦ χάριτι Ἱεροσολύμων καὶ Σικελίας ῥηγὸς καὶ δουκὸς Σουαβίας, τετάρτω ἔτει τοῦ ἀμφοτέρου αὐτοῦ κράτους· ἐπιτροπεύοντος αὐτοῦ γενικῶς ἐν τῷ κράτει Σικελίας τοῦ κυρίου ἡμῶν Μανφρέδου υἱοῦ τοῦ ποτὲ κυρίου ἡμῶν Φεδερίκου βασιλέως Ῥωμαίων θεοῦ χάριτι πρίγκιπος Ταρέντου καὶ τῆς τιμῆς τοῦ βουνοῦ τοῦ ἁγίου ἀγγέλου κυρίου, εὐτυχῶς ἀμήν. Ἐνώπιον ἡμῶν Ἰωάννου Λεάνδρου

(5) κριτοῦ πόλεως Ῥηγίου, μαίστρου Νικάνδρου πουβλίκου νοταρίου τῆς αὐτῆς, καὶ μαρτύρων τῶν ὑπογεγραμμένων εἰς τοῦτο κεκλημένων καὶ ἠξιωμένων, οἱ αὐτάδελφοι Πέτρος, Γεώργιος καὶ Βαρθολομαῖος, υἱοὶ τοῦ ποτὲ Γρηγορίου, Λαγωδάρη, κάτοικοι χωρίου Λαγωδαρῶν διακρατήσεως Μεσῶν, οἰκεία αὐτῶν καὶ ἐλευθέρα τῇ θελήσει, μὴ βιαζόμενοι ἢ ὀχλούμενοι παρά τινος, ἀναλαμβάνοντες ἐπ' αὐτοὺς πᾶσαν ὄχλησιν ξένων τε καὶ ἰδίων, πεπράκασι, παρεδώκασι καὶ παρουσιαστικῶς ἐφόρεσαν μετά τινος

ξύλου τῶ Βασιλείω, υἱῶ Νικολάου Καλαβροῦ, τὸ δίμοιρον αὐτῶν μέρος, ὃ ἐκέκτηντο ἐν τῶ ὑπογραφησομένω αὐτῶν οἴκω, ὃ ὡμολόγησαν κεκτῆσθαι

(10) εἰς τὴν τοποθεσίαν χωρίου Ἐρασιῶν, κοινῶς καὶ ἀμοιράστως μετὰ τοῦ αὐτοῦ Βασιλείου, ὅστις τὸ ἕτερον τρίτον οἴκου του εἰρημένου ἐκέκτητο ἀδιαχωρίστως μετ' αὐτῶν, ὡς ἔφησαν, ἐκ δικαίου ἀνταλλαγῆς ποιηθείσης περὶ αὐτοὺς ἤδη καιροῦ συχνοῦ παρωχηκότος, μετὰ παντὸς αὐτοῦ τοῦ διμοίρου μέρους, δικαιώματος εἰσοδοεξόδου, περιοχῆς καὶ διακρατήσεως, ὁλόκληρον καὶ διόλου ἐλεύθερον, διὰ χρυσοῦ ταρία ἑκατὸν τοῦ γενικοῦ ζυγοῦ· ἅτινα ἑκατὸν ταρία οἱ εἰρημένοι αὐτάδελφοι ὡμολόγησαν ἀνειληφέναι καὶ δέξασθαι παρὰ τοῦ εἰρημένου Βασιλείου ἐπὶ χεῖρας αὐτῶν τέλεια καὶ καλῶς ἐζυγιασμένα, ὑπὲρ δικαίου καὶ τελείου τιμήματος

(15) διμοίρου αὐτῶν οἴκου τοῦ εἰρημένου. Καὶ ἀποξενώσαντες αὐτοὺς καὶ τοὺς αὐτῶν κληρονόμους ἀπὸ τοῦ εἰρημένου οἴκου διόλου πρὸς τὸν εἰρημένον ἀγοραστὴν καὶ τοὺς αὐτοῦ κληρονόμους τοῦτον μετέφερον. Καὶ ἐξουσίαν αὐτῶ ἔδωκαν, τοῦ κρατεῖν αὐτὸν τοῦτον ἔχειν καὶ νέμεσθαι ἔνθεν διηνεκῶς εἰς ἰδίαν ἐξουσίαν καὶ κυριότητα, καὶ ἐξεῖναι αὐτῶ πωλεῖν τοῦτον καὶ ποιεῖν ἐν αὐτῶ καὶ ἐξ αὐτοῦ κατὰ τὸ ἴδιον βούλημα. Καὶ ἀποτασσόμενοι τῆ περὶ ἀναργυρίας ἀζυγίας, δόλου καὶ πλάνης παραγραφῆ, καὶ βοηθεία παντὸς νόμου καὶ συνήθως δυναμένη ἀντιθέσθαι κατὰ τοῦ παρόντος ἐγγράφου καὶ πράσεως, ἐκ συμφώνου καὶ ἐ-

(20) περωτήσεως ἐνσόλιδουμ. ἐν ὑποθήκη τῶν αὐτῶν ἀγαθῶν, ἔστερξαν καὶ ὑπέσχοντο αὐτῶ τὴν τούτου νόμιμον διεκδίκησιν ἀπὸ παντὸς προσώπου, καὶ ὑπεξαίρειν ἀπὸ πάσης ἀγωγῆς καὶ βάρους· καὶ ἵνα διηνεκῶς τὴν παροῦσαν πράσιν στερεὰν ἕξουσι καὶ ἀσφαλῆ, ὑπὸ ποίνης αὐγουσταλίων ὀκτὼ, τῆς ποίνης ἀποφληθείσης ἢ οὔ, τῶν εἰρημένων μενόντων ἀεὶ ἀρραγῶν καὶ παγίων. Περιορίζεσθαι δ' ἔφησαν τὸν εἰρημένον οἶκον οὕτως: ἐξ ἀνατολῆς οἶκος καὶ κήπος νοταρίου Βασιλείου Δυσκόμητος· δυσμῶν οἶκος Μαρίας τοῦ Παχαι· βορρᾶς οἶκος Περεγρίνου Μηχαλίτζη· καὶ νότου κήπος τῶν εἰρημένων ἀδελφῶν. Ὅθεν εἰς ὑπόμνησιν μέλλουσαν καὶ διηνεκὴν ἀσφάλειαν τοῦ εἰρημένου

(25) ἀγοραστοῦ, αἰτησάντων πρατῶν τῶν εἰρημένων καὶ συναινεσάντων πρὸς ἡμᾶς τοὺς εἰρημένους κριτὴν καὶ νοτάριον, ὡς εἰς οἰκείους αὐτῶν, — ἐν τῶ γνῶναι μὴ εἶναι οἰκείους αὐτῶν κριτὴν καὶ νοτάριον — ἐποιήσαμεν αὐτοῖς ἔνθεν τὸ παρὸν ἔγγραφον, διὰ χειρῶν ἐμοῦ τοῦ εἰρημένου μαίστρου Νικάνδρου πουβλίκου νοταρίου Ῥηγίου, ὑπογραφὲν παρ' ἡμῶν ἰδιοχείρως. Ἐγράφη εἰς τὸ Ῥήγιον, μηνὶ καὶ ἰνδικτίωνι τοῖς εἰρημένοις, ἔτει τοῦ κόσμου ,ϛψξϛ΄.

† Ἰωάννης Λεάνδρου κριτὴς Ῥηγίου ὑπέγραψα.

† Νικόλαος υἱὸς ὁ τοῦ Βαλδινερβίνου μάρτυρ.

† καὶ ἐγὼ Θεόδωρος τοῦ Γερμανίτου μάρτυρ ἰδιοχειρός.

† καὶ ἐγὼ Βασίλειος τοῦ Μαβρίκου μάρτυρ ἰδιοχειρὸς ὑπέγραψα.

† καὶ ἐγῶ Νικόλαος τοῦ Θεοπρίπου ἰδιοχειρὸς μάρτυρ.

† καὶ ἐγῶ Γεώργιος τοῦ Ξυροῦ παρακληθεῖς ὑπέγραψα ἰδιοχειρός.

† καὶ ὁ προσημανθεὶς μαίστρος Νίκανδρος πούβλικος νοτάριος Ῥηγίου ἔγραψα καὶ ὑπέγραψα.

17. A. D. 1317. — **Aristides,** In puteum Aesculapii. In Serapim. Siehe die Ausgabe von Dindorf, I, 414 und I, 81. Vollendet am 28. Juli, in der XV. Indiktion, 6825 nach Erschaffung der Welt, von Theodosius Euphemianus. Siehe Martini-Bassi, *Catalogus . . . Ambrosianae,* I 526, No. 436. — Minuskel. Papier. Unser Faksimile ist vergrößert.

θεοῖς· λοιπὸν ἓν εἰπεῖν· ὅτι καὶ ὅσια ἂν ποιοῖμεν, οὕτω κρίνοντες· ὁ γὰρ θεὸς πρῶτος περὶ αὐτοῦ ταύτην τὴν ψῆφον ἤνεγκεν, ὡς φασίν.

Εἰς τὸν Σάραπιν.

Εὔδαιμόν γε τὸ τῶν ποιητῶν ἐστι γένος καὶ πραγμάτων ἀπήλλακται πανταχῆ. (5) Οὐ γὰρ μόνον αὐτοῖς ἔξεστι τὰς ὑποθέσεις τοιαύτας ὁποίας ἂν αὐτοὶ βουληθῶσιν ἑκάστοτε ἐνστήσασθαι· οὔτε ἀληθεῖς· οὔτε ἐνίοτε πιθανάς· ἀλλ' οὐδὲ ἐχούσας σύστασιν τὸ παράπαν, εἴ τις ὀρθῶς βούλοιτο σκοπεῖν· ἀλλὰ καὶ διαχαράττουσι ταύτας οὕτως, ὅπως ἂν αὐτοῖς δόξῃ νοήμασί τε καὶ ἐνθυμήμασιν ὧν ἔνια εἴ τις τὰ πρὸ αὐτῶν τὲ καὶ μετὰ ταῦτα ἀφέλοι (10) οὐδὲ μαθεῖν ἐστιν αὐτά γε καθ' ἑαυτὰ ὅ τι δηλοῖ. Ὁμοῦ δὲ πάντων λεχθέντων συνέντες ἀπεδεξάμεθα ὥσπερ ἀγαπήσαντες ὅτι συνήκαμεν. Ἐνίων δὲ τὰς ἀρχὰς εἰπόντες τὸ λοιπὸν ἀφῆκαν, ὥσπερ καταγνόντες, τὰ δὲ τῆς ἀρχῆς στερήσαντες, ἄλλων δὲ τὰ μέσα ἐξελόντες, ἀποχρῆν ὠήθησαν, ὥσπερ τύραννοί τινες τῶν ὀνομάτων ὄντες. Ἔπειτα δὲ οὐδὲν αὐτοῖς (15) ἀτόλμητον οὐδ' ἄπορόν ἐστιν, ἀλλὰ θεοὺς ἀπὸ μηχανῆς αἴρουσι, καὶ εἰς πλοῦν ἐμβιβάζουσι συμπλεῖν οἷς ἂν αὐτοῖς δοκῆ, καὶ ποιοῦσιν οὐ μόνον συγκαθημένους, ἂν οὕτω τύχοι, τοῖς ἀνθρώποις, ἀλλὰ καὶ συμπίνοντας καὶ λύχνους ἔχοντας φῶς ποιοῦντας. Καὶ ταῦτα δὴ οὕτω μεγαλοπρεπεῖς εἰσίν· ἀφ' οὗ πᾶς ὅδε λόγος ὡρμήθη, ὡς εἰσὶν εὐδαίμονες κατ' αὐτὸν τὸν Ὅμηρον (20) ῥεῖα ζώοντες, ἐπειδὰν ποιῶσι τοὺς ὕμνους καὶ παιᾶνας τοῖς θεοῖς. Αἱ δὲ στροφαὶ ἢ περίοδοι ἀπεπλήρωσαν τὸ πᾶν. Καὶ Δᾶλον ἀμφιρρύταν εἰπόντες, ἠδὲ τερπικέραυνον, ἢ πόντον ἐρίβρομον, καὶ παρελθόντες ὡς Ἡρακλῆς εἰς Ὑπερβορέους ἀφίκετο, καὶ ὡς Ἰανὸς ἦν μάντις παλαιὸς, ἢ ὡς τὸν Ἀνταῖον Ἡρακλῆς, ἢ Μίνωα, ἢ Ῥαδάμανθυν προσθέντες, ἢ Φά-(25)σιν, ἢ Ἴστρον. ἢ ὡς αὐτοὶ θρέμματα Μουσῶν εἰσι καὶ ἄμαχοί τινες εἰς σοφίαν ἀναφθεγξάμενοι, αὐτάρκως σφίσιν ὑμνεῖσθαι νομίζουσι, καὶ οὐδὲ τῶν ἰδιωτῶν οὐδεὶς πλέον ἐπιζητεῖ παρ' αὐτῶν Οὕτω δὲ σφόδρα αὐτοὺς ἱεροὺς ἄγομεν καὶ σεμνύνομεν ὥστε καὶ αὐτὸ τὸ ποιεῖν τοὺς ὕμνους τοῖς θεοῖς καὶ προσαγορεύειν τούτοις παρακεχωρήκαμεν, ὥσ-(30)περ προφήταις ὡς ἀληθῶς οὖσι τῶν θεῶν. Καὶ οὐδὲ τὸ προσῆκον ὀρθῶς ὑποθέσθαι καὶ διαχειρίσαι τοῖς πᾶσιν ἐξητασμένως ἐστὶ καὶ διὰ πάσης ἐλθεῖν ἀκριβείας εἰς ὅσον ἀνθρώπω δυνατὸν τέτακται, οὐδὲν ἡγούμεθα δεῖν πρός γε τοὺς θεοὺς χρῆσθαι, ἀλλ' ἐπὶ μὲν τὰ ἄλλα πάντα ἀγωνίσματα τῶ λόγω χρώμεθα, καὶ πανηγύρεις τὲ ἐγκωμιάζομεν καὶ πράξεις (35) ἀνδρῶν καὶ πολέμους ἀφηγούμεθα, καὶ μύθους ποιοῦμεν, καὶ τοῖς δικαστηρίοις ἀγωνιζόμεθα, καὶ πρὸς πάνθ', ὡς ἔπος εἰπεῖν, ἡμῖν

18. A. D. 1344. — **Thucydides,** Historiae, lib. IV. V. Vollendet 6852 nach Erschaffung der Welt. Siehe Martini-Bassi, *Catalogus . . . Ambrosianae,* II, 880, No. 785. — Minuskel. Papier.

(ἀνέ)μεινεν ἡμέραν γενέσθαι· καὶ ὁ χειμὼν ἐτελεύτα· καὶ ἕνατον ἔτος τῶ πολέμω ἐτελεύτα τῶδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

Θουκυδίδου τοῦ τοῦ Ὀλόρου ἱστοριῶν, πέμπτη.

δι ην αιτιαν περισπ[ω]μενος υπο της Ταθημιος
και απαιτουμενος τας ᾱτ συμβαινει μη δυνασθαι
καταβηναι εις Μεμφι[ν] προς αναγκαιας χρειας
αξιω ουν σε μη υπεριδειν με περισπωμενον
μισοπονηρησαι τε και εφ οις διαπεπρακται
επι παραλογισμωι εαν σοι φαινηται συνταξαι
ανακαλεσασθαι αυτην επι σε καν ηι οια γραφω
επαναγκασαι παραχρημα τα δικαια μοι ποησαι
οπως και αυτος τηι Ταθ[η]μει αποδους μη περισπωμαι
τουτου δε γενομενου τευξομαι βοηθειας
ευτυχει

Zeile 3: διαζωντα sollte lauten: διαζωντος. — Zeile 6: συνδιατριλβοντος oder συνδιατριαβοντος. — Zeile 7: Josiah Forshall, der erste Herausgeber, las: διαιτωμενων. — Zeile 8: Unter dem Zeichen für drachma steht noch ein anderes unbekanntes Zeichen. — Zeile 17: Siehe das Zeichen für ετους. Der Name des Königs ist hier, wie in vielen anderen Urkunden, ausgelassen. — Zeile 18: Auch hier ist unter dem Zeichen für drachma noch ein Zeichen. βυ mit einem darübergesetzten Häkchen bedeutet 2400. — Zeile 20: Es ist nicht sicher, dass der Buchstabe vor ουδεν das Zeichen für drachma darstellt.

3. Saec. I. ineunte. — Homer, Odyssee, III, 457—491. Nicht datiert. Die Schrift ist der Schrift des Papyrus CCCLIV des Britischen Museums ähnlich, der um 10 v. Chr. geschrieben wurde. Siehe *Greek Papyri in the British Museum,* Faksimiles II, 6; siehe auch Kenyon, *The Palaeography of Greek Papyri,* Oxford 1899, 82—84. — Unciale. Papyrus. Ich entnehme die Abbildung, mit gütiger Erlaubnis von Herrn E. Maunde Thompson, den Faksimiles der *Palaeographical Society,* II, 182.

. . . . .
οι δ επει ωπτησαν κρε υπερτερα και ερυσαντ .
δαινυνθ εζομενοι· επι δ ανερες· εσθλοι ρροντο .
οινον ενοινοχοευντες ενι χρυσεοις δεπαεσσιν·
αυταρ επει ποσιος και εδητυος εξ ερον εντο
τοισι δε μυθων ηρχε γερηνιος ιπποτα Νεστωρ·
παιδες εμοι αγε Τηλεμαχωι καλλιτριχας ιππους
ζευξαθ' υφ αρματ αγοντες ινα πρησσησιν οδοιο·
ως εφαθ· . . .

Die Glossen am Rande rechts lauten, gemäß der Transkription in den genannten Faksimiles der *Palaeographical Society*:

Zu Vers 468: ζη[νοδοτος?] το . . . . . ν γαρ εφαινετο
. . . . . ειν εκ της μακρας

„ „ 479: β′ α′
οινον και σιτ(ον) εθηκε αμ[μωνιος]

P.P.R.
Z
114
.S85
1912

Zu Vers 483: ου[τως] χερσιν αμ[μωνιος] ερω[τιανος?]
δ ανεβαινε και εξω[πιος?] το ανεβαινε
„ „ 486: οτ[ι] πανημ[εριος] και το λοι[πον] της ημερας
αμ[μωνιος]
„ „ 489: κε αμ[μωνιος] ο δε τοις παρ ξεινια θηκεν εντι[μα]

4a. A. D. 145. — Schuldschein. Apollonius, Sohn des Castor, in der Straße der Bithynier in Heracleia, ein Nachkomme der persischen Ansiedler in Ägypten, bekennt, daß er von Stotoëtis, dem Sohn des Horus, einem Priester, 200 Silber-Drachmen und 15 „artabas" feinen Weizen erhalten hat, die er im Monat Pauni (26. Mai bis 24. Juni) desselben Jahres zurückgeben wird. Datiert zu Heracleia, im Distrikt Themistus, im Bezirk Arsinoë, am 16. Sebastus (= 16. Thoth) des 9. Jahres des Kaisers Titus Aelius Hadrianus Antoninus Augustus Pius (= 13. Sept. 145). Da Apollonius nicht schreiben kann, so hat Alcimus, Schreiber des Registratur-Amtes in Heracleia, für ihn unterschrieben. — Kursive. Papyrus. Unser Faksimile ist etwas vergrößert. Gefunden in Socnopaei Nesus (Dimeh) in Ägypten. Ich entnehme die Abbildung und die Transkription, mit gütiger Erlaubnis von Herrn F. G. Kenyon, den *Greek Papyri in the British Museum,* Facsimiles II, 54a; Catalogue, with Texts, II, 218—219, London 1898.

Ετους ενατου αυτοκρατορος καισαρος Τιτου Αιλιου
Αδριανου Αντωνινου Σεβαστου Ευσεβους
μηνος Σεβαστου ῑ̄ς̄ Θωθ ῑ̄ς̄ εν Ηρακλεια της
Θεμιστου μεριδος του Αρσινοειτου νομου Ομολογει
Απολλωνιος Καστορος [τ]ου Σαμβα απο αμφοδου
Βιθυνων αλλων τοπων Περσης της επιγονης
ως L λβ ουλη δακτυλω προτω χειρος αριστερας
Στοτοητι Ωρου του Πανεφρεμμεως ιερει ως L λα
ουλη δακτυλω δευτερω χειρος δεξιας εχιν
παρ αυτου τον ομολογουντα παραχρημα δια χει
ρος χρησιν εντοκον αργυριου κεφαλαιου δρα
χμας διακοσιας και πυρου εν γενει νεου καθα
ρου αδολου αρταβας δεκαπεντε μετρω δρο
μω τετραχοινικω ων και την αποδωσιν ποι
ησασθω ο ομολογων τω Στοτοητει εν μηνι
Παυνι του ενεστωτος θS Αντωνινου Καισαρος
του κυριου ανυπερθετως γεινομεν[ης] της
πραξεως τω Στοτοητει εκ τε του ομολογουντος
και εκ των υπαρχοντων αυτω παντων καθα
περ εγ δικης Απολλωνιος Καστορος εχω παρα
του Στοτοητιος τας προκιμενας αργυριου δραχμας
διακοσιας και πυρου αρταβας δεκαπεντε και
αποδοσω εν μηνι Παυνι του ενεστωτος ετους
καθως προκιται Αλκιμος γρ̣ι του προκιμενου γραφει°
εγραφα υπερ αυτου φαμενου μη ειδεναι γραμματ[α]
Εντετα^{x} δια του εν Ηρα^{x} γρ̣ι

Zeile 7. 8: Man beachte das Zeichen für ετων. — Zeile 7. 9: In diesen Urkunden werden in der Regel nicht nur das Alter der Kontrahenten, sondern auch etwaige körperliche Merkmale angegeben (in unserer Urkunde, dass sie eine Narbe an einem Finger haben). — Zeile 12: πυρου εν γενει = Weizen „in natura" (im Gegensatz zu dem anderen Teil der Anleihe, der „in Geld" ist). — Zeile 13. 14: Es gab in Ägypten verschiedene Arten des Artaba-Maßes; eines davon wurde mit δρόμῳ bezeichnet. Siehe *Greek Papyri in the British Museum,* Catalogue, with Texts, II, 257. — Zeile 16: Das Zeichen nach θ (= 9) kommt oft für ετους vor. Vgl. Zeile 23. — Zeile 24: Siehe die Abkürzungen für γραμματευς und γραφειου. — Zeile 26: Siehe die Abkürzungen für εντεταχται (von εντασσω), Ηρακλεια und γραφειου.

4b. zirka **A. D. 346. — Brief.** Iovinus schreibt seinem „Bruder" Ammeneos (in anderen Briefen meistens Abinnaeus genannt), er möge den *praepositus,* den *princeps,* den *actuarius* und die anderen Beamten recht bald ersuchen, einer Waise die ihr zukommenden 10 „artabas" Gemüsesamen zu geben; die Waise wollte zum *dux* gehen; er aber (Iovinus), der mit allen Menschen in Frieden leben möchte, hat sie bisher davon abgehalten; er und seine Familie grüßen die Frau und die Kinder des Ammeneos. Das ungefähre Datum des Briefes erhellt aus anderen noch erhaltenen Briefen des Flavius Abinnaeus. Dieser war *praefectus castrorum* in Dionysias in Ägypten. Die datierten Briefe seiner Korrespondenz gehen vom Jahre 343 bis zum Jahre 351; die meisten sind vom Jahre 346. — Kursive. Papyrus. Ich entnehme die Abbildung und die Transkription, mit gütiger Erlaubnis von Herrn F. G. Kenyon, den *Greek Papyri in the British Museum,* Facsimiles II, 96; Catalogue, with Texts, II, 287—289.

Κυριω μου αδελφω Αμεν
νεωτι Ἰοβινος
του προσειπειν σαι εσπευσα
δια τουτων μου των γραμ
ματων ευχομενος τη θεια
προνοια υγιαινοντι σοι
και ευθυμο^{υ}ντι αποδοθη
ναι τα παρ εμο^{υ} γραμματα
επιτα γραφω τη ση χρησ
τοτητι οπως σπο^{υ}δασης
και συμβουλευσης τω πραι
ποσιτω και τω πριγκεπι και
ακτουαριω και τοις λοι
ποις υπευθυνοις παρασ
χωσι τω ιδιω ρογατω
τας το^{υ} λαχαναασπερμο^{υ}
του ορφανο^{υ} αρταβας δεκα
εμοι τα μεγιστα χαριζο
μενος αει γαρ εγω χαρειν
εχω φιλειασειν πασι και
μη εχθραν εχειν προς
τινα εβουλετο γαρ ο ορφα
ν[ος] απελθειν προς τον
κ[υρ]ι[ον] μου τον δ̣ο[υ]κα κ[αι]
δι . . . . περι το^{υ}το^{υ} και αχρεις
δευρ[ο] επεσχον το πρα
γμα προσειπε παρ εμου
την κυριαν μου την συμβιον σο^{υ}
και τα παιδια σου και παντας
ηδεως κατ ονομα ερρωσθαι
σε ευχομαι πολλοις χρονοις
κυριε αδελφε

Am Rande links steht, von oben nach unten: πολλα ασπαζεται υμας η συμβιος μου και Σατορνιλος και παντες οι ημετεροι.

Auf der Rückseite steht: κυριω μου αδελφω (die anderen Worte sind nicht mehr vorhanden).

Zeile 3: σαι steht für σε. — Zeile 14: vor παρασχωσι ist zu ergänzen οπως. — Zeile 15: τω ιδιω ρογατω bedeutet wohl „auf ihr (der Waise) Verlangen". — Zeile 24; Das κ nach δουκα ist über δι geschrieben. — Zeile 25: Vielleicht διδαξαι. — Es scheint wenigstens, daß αχρεις zu lesen ist (für αχρις). — Zeile 30: ηδεως wahrscheinlich für ιδιως.

5. Saec. V. — Dio Cassius, Historiae Romanae, lib. LXXIX, 14,2—16,2. Nicht datiert. Alle Fragmente der Handschrift sind jetzt in Lichtdruck herausgegeben von Pio Franchi de'Cavalieri in *Codices e Vaticanis selecti phototypice expressi* iussu Pii PP. X., vol. IX., unter dem Titel: *Cassii Dionis Cocceiani historiarum Romanarum lib. LXXIX. LXXX quae supersunt,* Rom 1909. — Unciale. Pergament. In der Transkription folge ich der Ausgabe von U. Ph. Boissevain, vol. III, 417—419, Berlin 1901.

(1) (μο)ναρχία ἅτε καὶ πρεσβεύοντι τοῦ Μακρίνου προσήκει, ἐπεὶ δ' ὑπεργήρως εἰμί, ἐκείνῳ αὐτῆς ἐξίσταμαι.'" ληρεῖν δέ πως ἔδοξεν, ὥσπερ που καὶ ὁ Μακρῖνος τὸ μέγιστον τῆς γερουσίας ἀξίωμα τοιούτῳ ἀνδρὶ δούς, (10) ὅστις οὐδὲ διαλεχθῆναί τινι ἐν τῷ συνεδρίῳ καλῶς ὑπατεύων ἠδυνήθη, καὶ διὰ τοῦτο τῇ τῶν ἀρχαιρεσιῶν ἡμέρᾳ νοσεῖν προσεποιήσατο. Ὅθεν οὐκ εἰς μακρὰν τῷ Μαξίμῳ τῷ Μαρίῳ τὴν τῆς πόλεως προστασίαν ἀντ' αὐ-(20)τοῦ προσέταξε, καθάπερ ἐπὶ τοῦτο μόνον πολίαρχον αὐτὸν ποιήσας ἵνα μιάνῃ τὸ βουλευτήριον, οὐ κατ' ἐκεῖνο μόνον ὅτι ἐν τῷ μισθοφορικῷ ἐστράτευτο καὶ τὰ τῶν δημίων ἔργα καὶ προσκόπων καὶ ἑκατοντάρχων ἐπε-(30)ποιήκει, ἀλλ' ὅτι καὶ τὴν τῆς πόλεως ἀρχὴν πρὸ τοῦ

τῆς ὑπατείας ἔργου εἰλήφει, τοῦτ' ἔστιν πολίαρχος πρότερον ἢ βουλευτὴς ἐγεγόνει. Ταῦτα γὰρ περὶ αὐτὸν ὥσπερ τὰ καθ' ἑαυτόν, ὅτι τὴν αὐτοκράτορα ἀρχὴν ἱππεύων ἔτι ἡρπάκει, (40) ἐπηλυγασάμενος ἔπραξεν.

Ἐκεῖνά τε οὖν τινες αὐτοῦ οὐκ ἀπεικότως (II) ἐμέμφοντο, καὶ ὅτι ἐπάρχους τόν τε Ἰουλιανὸν τὸν Οὔλπιον καὶ Ἰουλιανὸν Νέστορα ἀπέδειξε, μήτ' ἄλλην τινὰ ἀρετὴν ἔχοντας μήτ' ἐν πολλαῖς πράξεσιν ἐξητασμένους, ἀλλὰ καὶ πάνυ περιβοήτους ἐ-(10)πὶ πονηρίᾳ ἐν τῇ τοῦ Καρακάλλου ἀρχῇ γενομένους διὰ τὸ πολλὰ αὐτῷ τῶν ἀγγελιαφόρων σφᾶς ἡγουμένους πρὸς τὰς ἀνοσίους πολυπραγμοσύνας ὑπηρετῆσαι. Ἀλλὰ ταῦτα μὲν ὀλίγοι ἐλογίζοντο καὶ ἀπ' αὐτῶν οὐ καθαρῶς ἐθάρσουν· (20) οἱ δὲ δὴ πλείους τῶν ἰδιωτῶν πρός τε τὴν διὰ βραχέος παρ' ἐλπίδα τοῦ Ταραύτου ἀπαλλαγὴν καὶ πρὸς τὴν ἐκείνου παραπλησίαν, ἐξ ὧν ὑποδεδείχει σφίσιν, πρὸς πάντα καὶ τὰ λοιπὰ προσδοκίαν οὐκ ἔσχον καιρὸν δι' ὀλίγου οὕτως αὐτοῦ (30) καταγνῶναι, καὶ διὰ τοῦτ' ἰσχυρῶς ἀποθανόντα ἐπόθησαν ὃν πάντως ἄν, εἴπερ ἐπὶ πλεῖον ἐβεβιώκει, διὰ μίσους ἐσχήκεισαν. Καὶ γὰρ τρυφερώτερόν πως ζῆν ἤρξατο, καὶ τῶν διαμεμφομένων τι αὐτοῦ ἐπεστρέφετο. Τὸν μὲν γὰρ Ματερνια-(40)νὸν τόν τε Δάτον οὐκ εὐλόγως μέν (τί γὰρ ἠδικήκεσαν τὸν αὐτοκράτορά σφων περιέποντες;)

6. zirka **A. D. 512.** — **Pedanius Dioscorides,** Über Pflanzen und Wurzeln. Geschrieben in Konstantinopel für Anicia Juliana, Tochter des Flavius Anicius Olybrius (im Jahre 492 einige Monate lang Kaiser des Westens) um das Jahr 512. Der ganze Kodex ist jetzt in Lichtdruck herausgegeben in *Codices graeci et latini photographice depicti,* Tom. X., unter dem Titel *Dioscurides. Codex Aniciae Julianae picturis illustratus, nunc Vindobonensis Med. Gr. I.* Praefati sunt Antonius de Premerstein, Carolus Wessely, Josephus Mantuani. Leiden 1906. Siehe auch Vogel-Gardthausen, *Die griechischen Schreiber des Mittelalters und der Renaissance,* Leipzig 1909 (XXXIII. Beiheft zum Zentralblatt für Bibliothekwesen), 203 und 473. — Unciale. Pergament. Ich entnehme die Abbildung und die Transkription, mit gütiger Erlaubnis von Herrn E. Maunde Thompson, den Faksimiles der *Palaeographical Society,* I, 177. Unser Faksimile ist etwas verkleinert.

κενταυριον το μεγα Κενταύριον τὸ μέγα.
οι δε . ναρκην καλουσιν . οι δε . λιμνησιον . οι δε . μαρωνιον
οι δε . πληκτρωνιας . οι δε χειρωνιας . οι δε . λιμνηστις
προφηται . αιμα Ηρακλεους . Ρωμαιοι . φιερ'ρει . οι δε : ουνιφερα
οι δε . φελτερ'ραι :
Φυλλα εχει καροια βασιλικη παραπλησια προμηκη χρωματι
χλωρα ως βραμ'βης . το δε περιφερες αυτων εντετμηται
ωσπερ πριων . καυλον δε εχει ως λαπαθου διπηχη και
τριπηχη . παραφυαδας απο της ριζης εχοντα πολλας εφ ων
κεφαλαι ομοιαι μηκωνι ὑπομηκεις εν τω περιφερει
ανθος κυανον καρ'πος δε ομοιος κνηκω εγ'κειμενος
ωσπερ εν εριωδεσιν τοις ανθεσιν . ριζα παχεια . στεραια
βαρεια περι πηχεις δυο μεστη χυλου δριμεου μετα ποσης
γλυκυτητος ερυθρους . ομοιως και ο χυλος ερυθρος
φιλει δε επι γην ευηλιον δρυμους και γεολυφα . πλεονα
ζει δε εν Λυκια και της Πελοποννησσου εν Ηλιδι και
Αρκαδια και Μεσσηνη και περι Φολοην και Λυκειν και
Σμυρνεον . αρμοζει δε η ριζα ρηγμασιν πλευριτικοῖς
δύςπνοια βηχι παλαιως πάσμασιν αιμοπτυεικοῖς
απυρέτοις μετ' οινου . πυρέσσουσι μετ' υδατος
δραχμαι δυο τῆς ρίζης λείαι διδόμεναι και προς στρό
φους ομοίως και ὑστέρας αλγήματα . άγει δε και έμ
μηνα σχῆμα κολ'λυρίου ξυσθεῖσα και προστεθεῖσα
τη υστέρα ὁ τε χυλὸς τα αυτὰ ποιεῖ . έστιν δὲ και τρα
χυσματικη ὑγρά μεν κοπεῖσα ξηρά δε προβραχεῖσα και
ούτως κοπεῖσα . συνάγει δὲ και κολ'λᾶ και τα εψόμενα
δε κρέα συνάγει . εάν τις αυτὴν κόψας συνεψήση .
οι δε εν Λυκία χυλίζοντες χρῶνται αντι λυκίου :

7. A. D. 545. — **Schuldschein.** Aurelius Cheides, Sohn des Phoebammon, und seine Mutter Sophia, aus Hermopolis, bekennen, daß sie von Aurelia Nemesilla, bei der sie noch eine frühere Schuld stehen haben, 4 solidi weniger 24 κεράτια geliehen haben. Datiert den 7. Pauni (26. Mai bis 24 Juni), in der VIII. Indiktion, nach dem Konsulat des Flavius Basilius (= 1. Juni 544 oder wahrscheinlicher 545). — Kursive. Papyrus. Ich entnehme die Abbildung und die Transkription, mit gütiger Erlaubnis von Herrn F. G. Kenyon, den *Greek Papyri in the British Museum,* Facsimiles, III, 87; Catalogue, with Texts, III, 271—272, London 1907.

P
X μετα την υπατειαν Φλαυιου Βασιλειου του πανευφημου Παυνι : ζ : η : ινδικ/ ‖ Αυρηλιοι Χειδης Φοιβαμμωνος εξης υπογραφων και η τουτου μητηρ Σοφια Ταυρινου ‖ μητρος Κυριλλουδος αμφοτεροι ορμωμενοι απο της Ερμουπολιτων Αυρηλια ‖ Νεμεσιλλη Φοιβαμμωνος τη ευγενεστατη απο της αυτης πολεως χαιρειν κυριας ουσης ‖ (5) και βεβαιας της προτερας ημων υποθηκης της ουσης παρα σοι της και την ιδιαν ισχυν ‖ και δυναμιν εχουσης εφ αις [π]ερι̣εχει διαστολαις πασαις αχρι αποδοσεως ‖ του εν αυτη χρεους και επιλυσεως τουτου και νυν ομολογουμεν αλληλεγγυοι οντες ‖ κ[αι] α̣λλη-λα[ν]αδοχοι εσχηκεναι κ[α]ι δ̣ε̣δανεισθαι παρα σου εις ιδιαν ημων και αναγκαιαν ‖ χρειαν δια χειρος εξ οικου σ̣ο[υ] κεφαλαιου χρυσου νομισματια δεσποτικα ‖ (10) [. . .]ι̣ν[.]α τεσσαρα παρα κερατια εικοσιτεσσαρα ζυγω δημοσιω της αυτης ‖ [π]ολεως γῑν̄ χρ/ ν° δ π^ι^ κερ' κδ : απερ σοι αποδωσομεν εξ αλληλεγγυης οποτάν ‖ [β]ουληθειης ανναττιρρητως και αναμφισβολως και απροφασιστως και ουχ ο̣ ημας
]η̣σ̣ε̣[.]ι̣ γνωναι σοι υπερανω επικερδιας των αυτων
. . . . . .
Auf der Rückseite: P X Χειδου Φοιβαμμωνος και της [μητρος Σοφιας

Zeile 1: Siehe die Abkürzung für ινδικτιωνος. — Zeile 11: Siehe die Abkürzungen für die Worte γινεται χρυσου νομισματια δ παρα κερατια κ δ (die Summe, die vorher in Worten ausgeschrieben war, ist in Zahlzeichen wiederholt). Das Wort γινεται oder γινονται wird gesetzt, wenn die Gesamtsumme angegeben wird. — Zeile 12: αννατιρρητως, wie es scheint, für αναντιρρητως.

8. A. D. 895. — **Plato,** Phaedrus. Vollendet im November 6404 nach Erschaffung der Welt, von dem Kalligraphen Johannes. Geschrieben für Arethas von Patras, später Erzbischof von Caesarea. Siehe Vogel-Gardthausen, *Die griechischen Schreiber* usw., 203. Dr. E. D. Clarke kaufte den Kodex 1802 im Kloster des hl. Johannes auf der Insel Patmos. Der ganze Kodex ist jetzt in Lichtdruck herausgegeben in *Codices graeci et latini photographice depicti,* tom. III.—IV., unter dem Titel: *Plato. Codex Oxoniensis Clarkianus 39.* Praefatus est Thom. W. Allen. Leiden 1898—1899. — Minuskel. Pergament.

Φαῖδρος ἢ περὶ καλοῦ. Ἠθικός.

Ὦ φίλε Φαῖδρε, ποῖ δὴ καὶ πόθεν; Παρὰ Λυσίου, ὦ Σώκρατες, τοῦ Κεφάλου· πορεύομαι δὲ πρὸς περίπατον ἔξω τείχους· συχνὸν γὰρ ἐκεῖ διέτριψα χρόνον καθήμενος ἐξ ἑωθινοῦ· τῶι δὲ σῶι καὶ ἐμῶι ἑταί-(5)ρωι πειθόμενος Ἀκουμένωι κατὰ τὰς ὁδοὺς ποιοῦμαι τοὺς περιπάτους· φησὶ γὰρ ἀκοπωτέρους εἶναι τῶν ἐν τοῖς δρόμοις. Καλῶς γάρ, ὦ ἑταῖρε, λέγει· ἀτὰρ Λυσίας ἦν ὡς ἔοικεν, ἐν ἄστει. Ναί, παρ' Ἐπικράτει, ἐν τῆιδε τῆι πλησίον τοῦ Ὀλυμπίου οἰκιαι τῆι Μορυχίαι. Τίς οὖν δὴ ἦν ἡ διατριβή; ἢ δῆλον ὅτι τῶν λόγων ὑμᾶς Λυσίας εἱστία; (10) Πεύσει, εἴ σοι σχολὴ προϊόντι ἀκούειν. Τί δάι; οὐκ ἂν οἶει με κατὰ Πίνδαρον καὶ ἀσχολίας ὑπέρτερον πρᾶγμα ποιήσεσθαι τὸ σήν τε καὶ Λυσίου διατριβὴν ἀκοῦσαι; Πρόαγε δή. Λέγοις ἄν. Καὶ μήν, ὦ Σώκρατες, προσήκουσά γέ σοι ἡ ἀκοή· ὁ γάρ τοι λόγος ἦν, περὶ ὃν διετρίβομεν, οὐκ οἶδ' ὁντινα τρόπον ἐρωτικός· γέγραφε γὰρ δὴ ὁ Λυ-(15)σίας πειρώμενόν τινα τῶν καλῶν, οὐχ ὑπὸ ἐραστοῦ δέ· ἀλλ' αὐτὸ δὴ τοῦτο καὶ κεκόμψευται· λέγει γὰρ ὡς χαριστέον μὴ ἐρῶντι μᾶλλον ἢ ἐρῶντι. Ὦ γενναῖος, εἰθε γράψειεν ὡς χρὴ πένητι μᾶλλον ἢ πλουσίωι, καὶ πρεσβυτέρωι ἢ νεωτέρωι, καὶ ὅσ' ἄλλα ἐμοί τε πρόσεστι καὶ τοῖς πολλοῖς ἡμῶν· ἦ γὰρ ἂν ἀστεῖοι καὶ δημωφελῆ εἶεν οἱ λόγοι· ἔγω-(20)γ' οὖν οὕτως ἐπιτεθύμηκα ἀκοῦσαι, ὥστ' ἐὰν βαδίζων ποιῆι τὸν περίπατον Μέγαράδε, καὶ κατὰ Ἡρόδικον προσβὰς τῶι τείχει πάλιν ἀπίηις, οὐ μή σου ἀπολειφθῶ. Πῶς λέγεις, ὦ βέλτιστε Σώκρατες; οἶει με, ἃ Λυσίας ἐν πολλῶι χρόνωι κατὰ σχολὴν συνέθηκε, δεινότατος ὢν τῶν νῦν γράφειν, ταῦτα ἰδιώτην ὄντα ἀπομνη-(25)μονεύσειν

ἀξίως ἐκείνου; πολλοῦ γε δέω· καί τοι ἐβουλόμην γ' ἂν μᾶλλον ἢ μοι πολὺ χρυσίον γενέσθαι. Ὦ Φαῖδρε, εἰ ἐγὼ Φαῖδρον ἀγνοῶ, καὶ ἐμαυτοῦ ἐπιλέλησμαι. Ἀλλὰ γὰρ οὐδέτερά ἐστι τούτων· εὖ οἶδα ὅτι Λυσίου λόγον ἀκούων ἐκεῖνος οὐ μόνον ἅπαξ ἤκουσεν, ἀλλὰ πολλάκις ἐπαναλαμβάνων ἐκέλευέν οἱ λέγειν· ὁ δὲ ἐ-(30)πείθετο προθύμως. Τῶι δὲ οὐδὲ ταῦτα ἦν ἱκανά, ἀλλὰ τελευτῶν παραλαβὼν τὸ βιβλίον ἃ μάλιστα ἐπεθύμει ἐπεσκόπει, καὶ τοῦτο δρῶν, ἐξ ἑωθινοῦ καθήμενος, ἀπειπὼν εἰς περίπατον ἤιει, ὡς μὲν ἐγὼ οἶμαι, νὴ τὸν κύνα, ἐξεπιστάμενος τὸν λόγον, εἰ μὴ πάνυ τίς ἦν μακρός. Ἐπορεύετο δ' ἐκτὸς τείχους, ἵνα μελετώιη. Ἀ-(35)παντήσας δὲ τῶι νοσοῦντι περὶ λόγων ἀκοὴν, ἰδὼν μὲν ἰδὼν

Die Glosse am Rande — in kleinen Uncialbuchstaben — bezieht sich auf den Ausdruck τῶν λόγων εἱστία in Zeile 9; sie lautet nach Thomas Gaisford, *Catalogus Manuscriptorum qui a E. D. Clarkio comparati in bibliotheca Bodleiana adservantur*, Oxford 1812:

Ἀττικὴ ἡ σύνταξις .... μέρους λέγειν. Ἀττικοὶ γοῦν καὶ ἔφαγον τοῦ ἄρτου φασὶν, οὐ τὸν ἄρτον, καὶ ἔπιον τοῦ οἴνου, ἀλλ' οὐ τὸν οἶνον. αὖτως οὖν καὶ ἐνταῦθα εἱστία ὑμᾶς τῶν λόγων. τὸ κοινὸν εἱστία ὑμᾶς τοῖς λόγοις. ὅσοι δὲ λείπειν φασὶ τὴν διὰ πρόθεσιν, ἵν' ἦι εἱστία ὑμᾶς διὰ τῶν λόγων, οὐ κατὰ σκοποῦ βάλλουσιν.

9. A. D. 949. — Evangeliarium, Lukas XVII, 34 — XVIII, 8. Kodex S der Evangelien. Vollendet am 5. Tag, den 1. März, zur 6. Stunde, 6457 nach Erschaffung der Welt, in der VII. Indiktion, von dem Mönch Michael. Siehe Vogel-Gardthausen, *Die griechischen Schreiber* usw., 322. — Liturgische Schrift. Pergament. Zwischen den Zeilen häufig Notenzeichen. Unser Faksimile ist verkleinert.

Περὶ τοῦ κριτοῦ τῆς ἀδικίας.

Ταύτη τῆ νυκτὶ ἔσονται δύο ἐπὶ κλίνης μιᾶς· εἷς παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται· . . .

Am Rande stehen die Sektionen des Ammonius und die Kanones des Eusebius: 212, V; 213, V; 214, X. — Zeile 1: Die Überschrift bezieht sich auf die unten beginnende Parabel von dem ungerechten Richter. — Zeile 16: τέλος = Das Ende der Lektion des Evangeliums.

10. post A. D. 967. — Psalterium, Ps. 98, 9—99, 5. Die Datierung der Handschrift beruht auf den Ostertafeln, die sich auf fol. 5—7 finden; sie beginnen mit dem Jahr 6475 nach Erschaffung der Welt. Siehe Martini-Bassi, *Catalogus codicum graecorum bibliothecae Ambrosianae*, Mailand 1906, I 136, No. 127. — Minuskel. Pergament. Unser Faksimile ist etwas vergrößert.

Ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος κύριος ὁ θεὸς ἡμῶν.

Ψαλμὸς τῶι Δαυὶδ εἰς ἐξομολόγησιν.

Ἀλαλάξατε τῶι θεῶι πᾶσα ἡ γῆ, δουλεύσατε τῶι κυρίωι ἐν εὐφροσύνηι.

Εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει, γνῶτε ὅτι κύριος αὐτός ἐστιν ὁ θεὸς ἡμῶν.

Αὐτὸς ἐποίησεν ἡμᾶς καὶ οὐχ ἡμεῖς, ἡμεῖς δὲ λαὸς αὐτοῦ καὶ πρόβατα νομῆς αὐτοῦ.

Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις.

Ἐξομολογεῖσθε αὐτῶι, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ, ὅτι χρηστὸς κύριος,

11. A. D. 1022. — Evangeliarium, Matthaeus V, 4—17; Johannes I, 1—14. Unter den Bibelhandschriften: Evan. 348. Vollendet im Dezember, in der V. Indiktion, 6531 nach Erschaffung der Welt. Wahrscheinlich in Süditalien geschrieben. Siehe Martini-Bassi, *Catalogus . . . Ambrosianae,* I 108, No. 93. — Minuskel. Pergament.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται . . .

12. A. D. 1053. — Privaturkunde. Lucas Tromarchus und seine Brüder Pancratius, Nicolaus und Candidus, Söhne des Clepta, schenken dem Leontius, Propst des Klosters der hl. Dreifaltigkeit zu Cava, das Kloster St. Andreas in Calabrien, das zerstört und verlassen war. Datiert 6561 nach Erschaffung der Welt, VI. Indiktion. — Minuskel, mit Hinneigung zur Kursive. Pergament. Ich benutze für die Transkription Fr. Trinchera, *Syllabus graecarum membranarum* usw., pag. 49, No. 40, Neapel 1865, und den *Codex diplomaticus Cavensis*, vol. 7, pag. 193, No. 1175. Siehe auch Giannino Ferrari, *I documenti greci medioevali di diritto privato dell' Italia meridionale* e loro attinenze con quelli bizantini d'Oriente e coi papiri greco-egizii, Leipzig 1910 (in: *Byzantinisches Archiv,* Heft 4).

† Σίγνον χειρὸς Λουκὰ Τρῶμάρχου. † Σίγνον χειρὸς Πανκρατίου ἀδελφὸς αὐτοῦ. † Σίγνον χειρὸς Νικολάου ἀδελφὸς αὐτοῦ. † Σίγνον χειρὸς Κάνδιδου υἱοῦ τοῦ Κλέπτη. † Ἐν ονοματι τοῦ πατρὸς καὶ τοῦ υιοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ἡμεῖς οἱ πρῶγεγραμμένοι Λουκᾶς καὶ Πανκράτιος καὶ Νικόλαος καὶ Κάνδιδος οἱ αὐτάδελφοι, οἱ τὰ σίγνα τοῦ τιμίου σταυροῦ ιδιοχειρὶ ποιήσαντες, τὰ παρακατίοντα εντελλῶμεθα. Ἔχομεν μοναστίριον καὶ τόπον τινὰ εκ γονικῆς ἡμῶν κλη-

(5) ρονομείας εἰς τὴν διακράτισιν τῆς Κάλαβρας· ὅπερ ἀμεληθόντες ἐν τὲς ἡμέραις ταῦταις τῶν Φράνκων καὶ πῶς κρατῶμεν ἀυτὸν φράνκον καὶ ἐλεύθερον· καὶ παντελὸς ἠφανησθαι καὶ πυρίκαυστον γέγονεν καὶ παντελὸς ἠρίμωται καὶ ἠφάνησθαι. Καὶ ἡ αγία τοῦ θεοῦ ἐκκλησία κεχαλασμικός ἔκειτο καὶ ἀλητούργητος. Εἰδῶτες δὲ (ἡμεῖς) τὴν κατάπτωσιν τοῦ τόπου, καὶ φοβούμενοι διὰ τοῦ θανάτου, σοῖ τῶ ἐυλαβεστάτω καθειγουμένω Λεοντίω τῆς μονῆς τῆς ἁγίας τρίαδος τῆς Κάβας, καὶ τοῖς σοῖς διακατόχοις, ἰδει ἀπεντεύθεν παραδίδομεν καὶ ἀφιέρωμεν τὸ εἰρημένον μοναστίριον· λέγωμεν δει

(10) τὴν μονὴν τοῦ ἀποστόλου Ανδρέου σὺν πᾶση τῆ διακρατήση ἀυτοῦ. Ἔστιν δὲ ὁ περιορησμὸς τῆς ἁγίας μονῆς ταῦτης: ἀπὸ μὲν ἀνατολὰς ἄρχεται ἀπὸ τῆς φούρκας τῶν ποταμῶν καὶ ἀναβέννει καὶ ἀποδίδει τὸν μέγαν κρημνὸν καὶ ἀπὸ τῶν κρημνῶν ἀναβέννη ἕως τὴν κεφαλὴν τοῦ μεγάλου Ἄτζου. Καὶ ἀπὸ τοῦ Ἄτζου ὡς κρατεῖ τὰ εἴσα καὶ ρείκτει εις τὴν μεγάλην ὁδὸν, καὶ ἀπὸ τῆς ὁδοῦ σκελλίζει καὶ ρήκτει εἰς τῆν βαθείαν τὴν μεγάλην. Καὶ ἀπὸ τοῦ ἄρκτρου μέρος ἄρχεται ἀπὸ τὴν στράταν τὴν μεγάλην· καὶ

(15) ὡς ὑπάγει ἡ στράτα ἕως τὴν ἀλόνην τοῦ Σικέλου καὶ ὡς καταβέννη τὴν ἀλώνην καὶ δίδει εἰς τὸ σήφωνε· καὶ ἀπὸ τοῦ σήφωνε ἀποδίδει εἰς τὸ ρυάκιν τοῦ Γαννουλούτου καὶ ἀπὸ τοῦ ρυάκειν ὡς καταβέννει καὶ δίδει εἰς τὸ ρυάκειν τοῦ Μαύρουβοῦε· καὶ ἀπὸ τοῦ ρυάκειν τοῦτου ρήκτει εἰς τὴν μεγάλην τύνπαν τῆς Καθθοῦσα· καὶ ἀπὸ τῆς Καθθοῦσα σκελλήζει τὸν βουνὸν καὶ δίδει εἰς τὸν μέγαν ποταμὸν· καὶ ὡς κατέβει ὁ ποταμὸς ἕως τοῦ ποταμοῦ ὃς καταβέννει ἀπὸ τοῦ Κεραμίδι καὶ κλύη.

(20) Δῶμεν καὶ ἀφιέρωμεν σοῖ τῶ προειρημένω οιγουμένω καὶ τοῖς σοῖς διακατόχοις, ἵνα ἔχειτε εξουσίαν ἐν αυτῶ τῶ πρωειρημένω μοναστιρίω ὡς κυριοι καὶ αυθένται ὡς παρ' ἡμῶν ἠλειφῶτες τὴν ἐξουσίαν, τοῦ ἔχειν εξουσίαν σὺ καὶ οἱ ὑπο σοῦ προβαλλόμενοι πάντοτε ποιεῖν ἐν ἀυτῶ, ὁσα οἱ θείοι νόμοι παρακελεύονται, ἵνα εὔχεσθαι ἐν τοῖς ἱεροῖς διπτήχοις ὑπερ ημῶν. Μὴ τολμῶμεν δὲ ἡμεῖς ἀπὸ σήμερον ὁρίζην, ἡ ἐνοχλὴν ἔν τινι ἡμῶν· ἀν δὲ φάνωμεν ποτὲ καιρῶ ζήτισιν ποιούμενοι ὑπὲρ τοῦ παρ' ἡμῶν σοῖ ἐγγράφω παραδοθέντος μοναστιρίου,

(25) ὁμολογοῦμεν ἐν πρώτοις εἶναι ἡμεῖς ἀρνῆται τοῦ τιμίου καὶ ζωποιοῦ σταυροῦ, καὶ ὁποκλήνωμεν ζημιοῦσθαι εἰς τὸ δημόσιον νομισματα ιζ΄, καὶ προς σὲ τὸν ὀνομασθέντα Λεόντιον διδειν ἄλλα ζ΄. Καὶ οὑτω στέργειν καὶ ἐμμένειν τὸ παρὸν παραδωτηκὸν εἰς αἰώνα αἰώνος. Ἐργάφη δὲ τὸ ὅλον ἦφος παρακλήσει ἡμῶν τῶν πρωηθέντων ἄνθρωπών δια χειρὸς Θεοφειλάκτου προτοπαπᾶ τοῦ ἁστεος ἁγίου Κύρικου ἐν ἐτει ,ςφξά, ινδικτίωνος ς΄, παρουσία τῶν παρευρεθέντων μαρτύρων. † Νικόλαος ἡγούμενος τοῦ Κεραμήδου μάρτυρ ὑπέγραψα.

(30) † Θεόδορος προτομανδρίτης της Καλαβρας μάρτυρ υπέγραψα.
† Ἀναστάσιος υἱὸς Λουκὰ Τρωμάρχου μάρτυρ υπέγραψα.
† Λούκας αδελφος αὐτοῦ μάρτυρ ὑπέγραψα.
† Λίκαστος τοῦ Οὐρσίνου μάρτυρ ὑπέγραψα.

13. A. D. 1073. — Menaeum. Josephus Flavius, Narratio de Maccabaeis. Vollendet im März, XI. Indiktion, 6581 nach Erschaffung der Welt, von dem Mönch Klemens. Siehe Martini-Bassi, *Catalogus . . . Ambrosianae*, II 978, No. 878, und Vogel-Gardthausen, *Die griechischen Schreiber* usw., 232. Siehe die Ausgabe von Naber (Bibliotheca Teubneriana), VI 291. — Minuskel. Pergament. Aus Thessalien nach Mailand gebracht.

Μηνὶ Αὐγούστῳ ᾱ.

Διήγησις Ἰωσίππου εἰς (5) τὸ μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων Μακκαβαίων. πάτερ εὐλόγησον.

Φιλοσοφώτατον λόγον ἐπιδείκνυσθαι μέλλων, εἰ αὐτο-(10)κράτωρ ἐστὶ τῶν παθῶν ὁ εὐσεβὴς λογισμὸς, συμβουλεύσαιμι ἂν ὑμῖν ὀρθῶς ὅπως προθύμως προσέχητε τῇ φιλοσοφίαι. (15) Καὶ γὰρ ἀναγκαῖος εἰς ἐπιστήμην παντὶ ὁ λόγος, καὶ ἄλλως τῆς μεγίστης ὢν ἀρετῆς· λέγω δὴ ὅτι φρονήσεως περιέχει ἔπαινον, (20) εἰ ἄρα τῶν σωφροσύνης κωλυτικῶν παθῶν ὁ λογισμὸς φαίνεται ἐπικρατεῖν, γαστριμαργίας τὲ καὶ ἐπιθυμίας. Ἀλλὰ καὶ τῶν (25) τῆς δικαιοσύνης ἐμποδιστικῶν παθῶν κυριεύειν ἀναφαίνεται, οἷον κακοηθείας τὲ καὶ τῶν τῆς ἀνδρείας ἐμποδιστικῶν (30) παθῶν, θυμοῦ τὲ καὶ (II) πόνου καὶ φόβου.

Πῶς ἴσως οὖν εἴποιεν ἄν τινες, εἰ τῶν παθῶν ὁ λογισμὸς κρατεῖ, λήθης καὶ ἀγνοίας πῶς (5) οὐ δεσπόζει; γελοῖον ἐπιχειροῦντες λέγειν. Οὐ γὰρ τῶν ἑαυτοῦ παθῶν ὁ λογισμὸς κρατεῖ, ἀλλὰ τῶν τῆς δικαιοσύνης καὶ ἀνδρείας καὶ σω-(10)φροσύνης ἐναντίων, καὶ τούτων οὐχ ὥστε αὐτὰ καταλῦσαι ἀλλ' ὥστε αὐτοῖς μὴ εἶξαι.

Πολλαχόθεν μὲν οὖν καὶ ἀλλαχόθεν ἔχοιμι ἂν ὑμῖν ὑπο-(15)δεῖξαι ὅτι αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ λογισμὸς, πολὺ δὲ πλέον ἀπὸ τούτων ἀποδείξαιμι ἀπὸ τῆς ἀνδραγαθίας τῶν ὑπὲρ αὐτῆς ἀ-(20)ποθανόντων, Ἐλεαζάρου τὲ καὶ ἑπτὰ ἀδελφῶν καὶ τῆς τούτων μητρός· ἅπαντες γὰρ οὗτοι ὑπὲρ τῶν τοῦ θεοῦ νόμων ἕως θανάτου πόνων (25) καταφρονήσαντες, καὶ ὑπὲρ θεοσεβείας τὸ ζῆν αὐτῶν ὑπεριδόντες, ὑπέδειξαν ὅτι περικρατεῖ τῶν παθῶν ὁ λογισμός. Τῶν μὲν (30) οὖν ἀρετῶν ἔπεστί μοι ἐπαι(νεῖν)

14. A. D. 1175. — **Basilius,** Homiliae in Hexaemeron, VI. VII. Siehe Migne, *Patrologia graeca*, 29, col. 145. Vollendet am 13. September, in der IX. Indiktion, 6684 nach Erschaffung der Welt, vom Schreiber Johannes. — Minuskel. Pergament.

ἀλλὰ μικραῖς τισὶν καὶ ἀμυδραῖς ἐμφάσεσιν δι' αὐτῶν πρὸς βιβασθῆναι· ὥσπερ καὶ δι' ἑ-(5)κάστου τῶν μικροτάτων ἐν ζώοις ἢ ἐν βοτάναις. Ἀρκεσθῶμεν τοῖς εἰρημένοις. Ἐγὼ μὲν εὐχαριστήσας (10) τῷ τὴν μικράν μοι ταύτην διακονίαν τοῦ λόγου χαρισάμενος, ἡμεῖς δὲ τῷ διατρέφοντι ὑμᾶς ταῖς πνευματι-(15)καῖς τροφαῖς, ὃς καὶ νῦν ὑμᾶς οἷον κριθίνῳ τινὶ ἄρτῳ τῇ εὐτελείᾳ τῆς ἡμετέρας φωνῆς διέθρεψεν· καὶ (20) διατρέφοι γε εἰς ἀεί, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, χαριζόμενος ἡμῖν τὴν φανέρωσιν τοῦ πνεύματος, ἐν (25) Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, (30) ἀμήν.

Λόγος ζ̄.

(5) Καὶ εἶπεν ὁ θεὸς „Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν κατὰ γένος, καὶ πετεινὰ πετώμενα (10) κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ κατὰ γένος". Μετὰ τὴν τῶν φωστήρων δημιουργίαν καὶ τὰ ὕδατα λοιπὸν πλη-(15)ροῦται ζώων, ὥστε καὶ ταύτην διακοσμηθῆναι τὴν λήξιν. Ἀπέλαβεν μὲν γὰρ ἡ γῆ τῶν ἐκ τῶν οἰκείων βλαστημά-(20)των κόσμον· ἀπέλαβεν δὲ ὁ οὐρανὸς τῶν ἄστρων τὰ ἄνθη, καὶ οἱονεὶ διδύμων ὀφθαλμῶν βολαῖς, τῇ συζυγίᾳ (25) τῶν μεγάλων φωστήρων κατεκοσμήθη. Λειπόμενον ἦν καὶ τοῖς ὕδασι τὸν οἰκεῖον κόσμον ἀποδοθεῖναι. Ἦλ-(30)θεν πρόσταγμα, καὶ εὐθὺς ποταμοὶ ἐνεργοὶ,

Die Ausgabe von Migne hat in Zeile I, 3: προβιβασθῆναι; Zeile 12: χαρισαμένω; Zeile 13: ὑμεῖς: Zeile 23: ὑμῖν; Zeile II, 18: τὸν; Zeile 29: ἀποδοθῆναι.

15. A. D. 1255. — **Theophylakt,** In quatuor evangelia enarrationes. Siehe Migne, *Patrologia graeca*, 123, col. 492. Vollendet am 12. Juni, in der XIII. Indiktion, 6763 nach Erschaffung der Welt, vom Mönch Nicander. Siehe Henri Omont, *Fac-similés des manuscrits grecs datés de la Bibliothèque Nationale*, Paris 1891, Taf. 55. — Minuskel. Papier.

Τοῦ αὐτοῦ ἐπιτομὴ διαφόρων ἐξηγητῶν. Εἰς τὸ κατὰ Μάρκον ἅγιον εὐαγγέλιον.

Τὸ κατὰ Μάρκον εὐαγγέλιον, μετὰ δέκα ἔτη τῆς Χριστοῦ ἀναλήψεως συνεγράφη ἐν Ῥώμῃ· ἦν μὲν γὰρ οὗτος ὁ Μάρκος Πέτρου μαθητὴς, ὃν καὶ υἱὸν αὐτοῦ ὁ Πέτρος ὀνομάζει πνευματικὸν· ἐκαλεῖτο δὲ καὶ Ἰωάννης ἀνεψιὸς Βαρνάβα· ἀλλὰ καὶ Παύλου συνέκδημος· τέως μέν τοι Πέτρῳ συνὼν τὰ πλεῖστα (5) καὶ ἐν Ῥώμῃ συνῆν, ἠτήσαντο οὖν αὐτὸν οἱ ἐν Ῥώμῃ πιστοὶ, μὴ μόνον ἀγράφως κηρύσσειν, ἀλλὰ δὲ ἐγγράφως αὐτοῖς ἐκθέσθαι τὴν κατὰ Χριστὸν πραγματείαν. Μόλις οὖν πεισθεὶς συνέγραψε. Τῷ δὲ Πέτρῳ ἀπεκαλύφθη παρὰ θεοῦ, ὅτι ὁ Μάρκος συνέγραψεν εὐαγγέλιον. Ἰδὼν οὖν καὶ ἐπιβεβαιώσας ὡς ἀληθὲς, εἶτα καὶ ἐπίσκοπον αὐτὸν ἐξαπέστειλεν εἰς Αἴγυπτον. Ἔνθα δὴ καὶ κηρύξας, ἐν Ἀλεξανδρείᾳ τὲ ἐκκλησίαν συστησάμενος, τοὺς πρὸς τῷ μεσημβρινῷ κλίματι, πάντας ἐφώτισεν. Ἔστι (10) δὲ ὁ χαρακτὴρ τοῦ εὐαγγελίου σαφὴς· καὶ οὐδὲν ἔχων περινενοημένον· σχεδὸν δὲ κατὰ πάντα τῷ Ματθαίῳ συντρέχει ὁ παρὼν εὐαγγελιστής· πλὴν ὅσον ὁ Ματθαῖος πλατύτερος, καὶ ὅτι ὁ μὲν Ματθαῖος τῆς κατὰ σάρκα γενέσεως τοῦ κυρίου ἐν ἀρχῇ μνημονεύει· οὗτος δὲ ἀπὸ τοῦ προφήτου ἤρξατο Ἰωάννου. Ὅθεν τινὲς, εἰ καὶ περιεργότερον δοκεῖ, τοιοῦτόν τι νόημα εἶπον ἐπὶ τοῖς εὐαγγελισταῖς· ὁ ἐπὶ τῶν Χερουβὶμ καθήμενος θεὸς, ἃ τετραπρόσωπα ἡ γραφὴ λέγει, παρέδωκεν ἡμῖν τετράμορφον τὸ εὐαγγέλιον, (15) ἑνὶ πνεύματι συνεχόμενον. Ὥσπερ οὖν τὰ Χερουβὶμ ἕκαστον, ἓν μὲν πρόσωπον ἔχει ὅμοιον λέοντι, ἕτερον δὲ ἀνθρώπῳ, καὶ ἕτερον ἀετῷ, καὶ ἕτερον μόσχῳ, οὕτως καὶ ἡ τοῦ εὐαγγελικοῦ κηρύγματος πραγματεία. Τὸ μὲν κατὰ Ἰωάννην εὐαγγέλιον ἔχει λέοντος πρόσωπον· βασιλικὸν γὰρ ὁ λέων καὶ ἡγεμονικόν· ὁμοίως οὖν καὶ Ἰωάννης ἀπὸ τοῦ βασιλικοῦ καὶ δεσποτικοῦ ἀξιώματος τῆς θεότητος τοῦ λόγου ἤρξατο, εἰπών „Ἐν ἀρχῇ ἦν ὁ λόγος". Τὸ δὲ κατὰ Ματθαῖον ἀνθρωποπρόσωπον· ἀπὸ γὰρ (20) τῆς κατὰ σάρκα γεννήσεως καὶ ἐνανθρωπήσεως τοῦ λόγου ἤρξατο. Τὸ δὲ κατὰ Μάρκον ἀετῷ παρεικαζόμενον· ἀπὸ γὰρ προφήτου ἤρξατο τοῦ Ἰωάννου· ἡ δὲ προφητικὴ χάρις, προορατικὴ οὖσα καὶ ὀξέως τὰ πόρρω βλέπουσα, ἀετός ἐστι· φασὶ γὰρ τὸν ἀετὸν ὀξυδερκέστατον εἶναι. ὥς τε καὶ μόνον ἐκ τῶν ἄλλων ζώων πρὸς τὸν ἥλιον δύνασθαι ἀτενίζειν μὴ κάμνοντα. Μόσχῳ δὲ ὅμοιον τὸ κατὰ Λουκᾶν, διότι ἀπὸ τῆς ἱερατείας τοῦ Ζαχαρίου ἤρξατο, ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ θυ-(25)μιῶντος· καὶ μόσχος δὲ ἦν ὁ θυόμενος τότε. Ἄρχεται οὖν ὁ Μάρκος τοῦ εὐαγγελίου ἀπὸ τῆς τοῦ προδρόμου διαγωγῆς καὶ ἀναδείξεως. Ἄκουε οὖν τί φησί.

Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ υἱοῦ τοῦ θεοῦ. Ὡς γέγραπται ἐν τοῖς προφήταις· „Ἰδοὺ ἐγὼ ἀποστέλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ".

(30) Ἰωάννην τὸν τελευταῖον τῶν προφητῶν ἀρχὴ εἶναι τοῦ εὐαγγελίου τοῦ υἱοῦ τοῦ θεοῦ φησί. Τὸ γὰρ τέλος τῆς παλαιᾶς ἀρχὴ τῆς νέας διαθήκης. Ἡ δὲ μαρτυρία τοῦ προδρόμου ἀπὸ δύο προφητῶν ἐλήφθη. Τοῦ μὲν γὰρ Μαλαχίου ἐστὶ τὸ „Ἰδοὺ ἀποστελῶ τὸν ἄγγελόν μου πρὸ προ-(σώπου)

16. A. D. 1257. — **Privaturkunde.** Die Brüder Petrus, Georgius und Bartholomaeus, Söhne des Gregorius, verkaufen dem Basilius, Sohn des Nicolaus, zwei Teile eines Hauses, von welchem Basilius schon einen Teil besitzt, zum Preise von 100 Gold-Tareni. Datiert Reggio, 26. November, in der I. Indiktion, 6766 nach Erschaffung der Welt. — Minuskel, stark kursiv. Pergament. Ich benutze für die Transkription Fr. Trinchera, *Syllabus graecarum membranarum* usw., pag. 423, No. 299. Die Unterschriften teilweise unleserlich, da eine dunkle Flüssigkeit darüber gestrichen wurde.

Ἐν ὀνόματι κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀμήν. Ἐν τῷ ,ασνζ΄ ἔτει τῆς αὐτοῦ σωτηριώδους σαρκώσεως, μηνὶ Νοεμβρίῳ κς΄, ἰνδικτίωνος πρώτης, δεσπόζοντος τοῦ κυρίου ἡμῶν Κονράδου δευτέρου, θεοῦ χάριτι Ἱεροσολύμων καὶ Σικελίας ῥηγὸς καὶ δουκὸς Σουαβίας, τετάρτῳ ἔτει τοῦ ἀμφοτέρου αὐτοῦ κράτους· ἐπιτροπεύοντος αὐτοῦ γενικῶς ἐν τῷ κράτει Σικελίας τοῦ κυρίου ἡμῶν Μανφρέδου υἱοῦ τοῦ ποτὲ κυρίου ἡμῶν Φεδερίκου βασιλέως Ῥωμαίων θεοῦ χάριτι πρίγκιπος Ταρέντου καὶ τῆς τιμῆς τοῦ βουνοῦ τοῦ ἁγίου ἀγγέλου κυρίου, εὐτυχῶς ἀμήν. Ἐνώπιον ἡμῶν Ἰωάννου Λεάνδρου

(5) κριτοῦ πόλεως Ῥηγίου, μαίστρου Νικάνδρου πουβλίκου νοταρίου τῆς αὐτῆς, καὶ μαρτύρων τῶν ὑπογεγραμμένων εἰς τοῦτο κεκλημένων καὶ ἠξιωμένων, οἱ αὐτάδελφοι Πέτρος, Γεώργιος καὶ Βαρθολομαῖος, υἱοὶ τοῦ ποτὲ Γρηγορίου, Λαγωδάρη, κάτοικοι χωρίου Λαγωδαρῶν διακρατήσεως Μεσῶν, οἰκεία αὐτῶν καὶ ἐλευθέρα τῇ θελήσει, μὴ βιαζόμενοι ἢ ὀχλούμενοι παρά τινος, ἀναλαμβάνοντες ἐπ' αὐτοὺς πᾶσαν ὄχλησιν ξένων τε καὶ ἰδίων, πεπράκασι, παρεδώκασι καὶ παρουσιαστικῶς ἐφόρεσαν μετά τινος

ξύλου τῶ Βασιλείω, υἱῶ Νικολάου Καλαβροῦ, τὸ δίμοιρον αὐτῶν μέρος, ὁ ἐκέκτητο ἐν τῶ ὑπογραφησομένω αὐτῶν οἴκω, ὃ ὡμολόγησαν κεκτῆσθαι

(10) εἰς τὴν τοποθεσίαν χωρίου Ἐρασιῶν, κοινῶς καὶ ἀμοιράστως μετὰ τοῦ αὐτοῦ Βασιλείου, ὅστις τὸ ἕτερον τρίτον οἴκου του εἰρημένου ἐκέκτητο ἀδιαχωρίστως μετ' αὐτῶν, ὡς ἔφησαν, ἐκ δικαίου ἀνταλλαγῆς ποιηθείσης περὶ αὐτοὺς ἤδη καιροῦ συχνοῦ παρωχηκότος, μετὰ παντὸς αὐτοῦ τοῦ διμοίρου μέρους, δικαιώματος εἰσοδοεξόδου, περιοχῆς καὶ διακρατήσεως, ὁλόκληρον καὶ διόλου ἐλεύθερον, διὰ χρυσοῦ ταρία ἑκατὸν τοῦ γενικοῦ ζυγοῦ· ἅτινα ἑκατὸν ταρία οἱ εἰρημένοι αὐτάδελφοι ὡμολόγησαν ἀνειληφέναι καὶ δέξασθαι παρὰ τοῦ εἰρημένου Βασιλείου ἐπὶ χεῖρας αὐτῶν τέλεια καὶ καλῶς ἐζυγιασμένα, ὑπὲρ δικαίου καὶ τελείου τιμήματος

(15) διμοίρου αὐτῶν οἴκου τοῦ εἰρημένου. Καὶ ἀποξενώσαντες αὐτοὺς καὶ τοὺς αὐτῶν κληρονόμους ἀπὸ τοῦ εἰρημένου οἴκου διόλου πρὸς τὸν εἰρημένον ἀγοραστὴν καὶ τοὺς αὐτοῦ κληρονόμους τοῦτον μετέφερον. Καὶ ἐξουσίαν αὐτῶ ἔδωκαν, τοῦ κρατεῖν αὐτὸν τοῦτον ἔχειν καὶ νέμεσθαι ἔνθεν διηνεκῶς εἰς ἰδίαν ἐξουσίαν καὶ κυριότητα, καὶ ἐξεῖναι αὐτῶ πωλεῖν τοῦτον καὶ ποιεῖν ἐν αὐτῶ καὶ ἐξ αὐτοῦ κατὰ τὸ ἴδιον βούλημα. Καὶ ἀποτασσόμενοι τῆ περὶ ἀναργυρίας ἀζυγίας, δόλου καὶ πλάνης παραγραφῆ, καὶ βοηθεία παντὸς νόμου καὶ συνήθως δυναμένη ἀντιθέσθαι κατὰ τοῦ παρόντος ἐγγράφου καὶ πράσεως, ἐκ συμφώνου καὶ ἐ-

(20) περωτήσεως ἐνσόλιδουμ ἐν ὑποθήκη τῶν αὐτῶν ἀγαθῶν, ἔστερξαν καὶ ὑπέσχοντο αὐτῶ τὴν τούτου νόμιμον διεκδίκησιν ἀπὸ παντὸς προσώπου, καὶ ὑπεξαίρειν ἀπὸ πάσης ἀγωγῆς καὶ βάρους· καὶ ἵνα διηνεκῶς τὴν παροῦσαν πράσιν στερεὰν ἔξουσι καὶ ἀσφαλῆ, ὑπὸ ποίνης αὐγουσταλίων ὀκτὼ, τῆς ποίνης ἀποφληθείσης ἢ οὔ, τῶν εἰρημένων μενόντων ἀεὶ ἀρραγῶν καὶ παγίων. Περιορίζεσθαι δ' ἔφησαν τὸν εἰρημένον οἶκον οὕτως: ἐξ ἀνατολῆς οἶκος καὶ κήπος νοταρίου Βασιλείου Δυσκόμητος· δυσμῶν οἶκος Μαρίας τοῦ Παχαι· βορρᾶς οἶκος Περεγρίνου Μηχαλίτζη· καὶ νότου κήπος τῶν εἰρημένων ἀδελφῶν. Ὅθεν εἰς ὑπόμνησιν μέλλουσαν καὶ διηνεκῆν ἀσφάλειαν τοῦ εἰρημένου

(25) ἀγοραστοῦ, αἰτησάντων πρατῶν τῶν εἰρημένων καὶ συναινεσάντων πρὸς ἡμᾶς τοὺς εἰρημένους κριτὴν καὶ νοτάριον, ὡς εἰς οἰκείους αὐτῶν, — ἐν τῶ γνῶναι μὴ εἶναι οἰκείους αὐτῶν κριτὴν καὶ νοτάριον — ἐποιήσαμεν αὐτοῖς ἔνθεν τὸ παρὸν ἔγγραφον, διὰ χειρῶν ἐμοῦ τοῦ εἰρημένου μαίστρου Νικάνδρου πουβλίκου νοταρίου Ῥηγίου, ὑπογραφὲν παρ' ἡμῶν ἰδιοχείρως. Ἐγράφη εἰς τὸ Ῥήγιον, μηνὶ καὶ ἰνδικτίωνι τοῖς εἰρημένοις, ἔτει τοῦ κόσμου ,ςψξς'.

† Ἰωάννης Λεάνδρου κριτὴς Ῥηγίου ὑπέγραψα.
† Νικόλαος υἱὸς ὁ τοῦ Βαλδινερβίνου μάρτυρ.
† καὶ ἐγὼ Θεόδωρος τοῦ Γερμανίτου μάρτυρ ἰδιοχειρός.
† καὶ ἐγὼ Βασίλειος τοῦ Μαβρίκου μάρτυρ ἰδιοχειρὸς ὑπέγραψα.
† καὶ ἐγῶ Νικόλαος τοῦ Θεοπρίπου ἰδιοχειρὸς μάρτυρ.
† καὶ ἐγῶ Γεώργιος τοῦ Ξυροῦ παρακληθεῖς ὑπέγραψα ἰδιοχειρός.
† καὶ ὁ προσημανθεὶς μαίστρος Νίκανδρος πούβλικος νοτάριος Ῥηγίου ἔγραψα καὶ ὑπέγραψα.

17. A. D. 1317. — **Aristides,** In puteum Aesculapii. In Serapim. Siehe die Ausgabe von Dindorf, I, 414 und I, 81. Vollendet am 28. Juli, in der XV. Indiktion, 6825 nach Erschaffung der Welt, von Theodosius Euphemianus. Siehe Martini-Bassi, *Catalogus . . . Ambrosianae,* I 526, No. 436. — Minuskel. Papier. Unser Faksimile ist vergrößert.

θεοῖς· λοιπὸν ἓν εἰπεῖν· ὅτι καὶ ὅσια ἂν ποιοῖμεν, οὕτω κρίνοντες· ὁ γὰρ θεὸς πρῶτος περὶ αὐτοῦ ταύτην τὴν ψῆφον ἤνεγκεν, ὡς φασίν.

Εἰς τὸν Σάραπιν.

Εὔδαιμόν γε τὸ τῶν ποιητῶν ἐστι γένος καὶ πραγμάτων ἀπήλλακται πανταχῆ. (5) Οὐ γὰρ μόνον αὐτοῖς ἔξεστι τὰς ὑποθέσεις τοιαύτας ὁποίας ἂν αὐτοὶ βουληθῶσιν ἑκάστοτε ἐνστήσασθαι· οὔτε ἀληθεῖς· οὔτε ἐνίοτε πιθανάς· ἀλλ' οὐδὲ ἐχούσας σύστασιν τὸ παράπαν, εἴ τις ὀρθῶς βούλοιτο σκοπεῖν· ἀλλὰ καὶ διαχαράττουσι ταύτας οὕτως, ὅπως ἂν αὐτοῖς δόξῃ νοήμασί τε καὶ ἐνθυμήμασιν ὧν ἔνια εἴ τις τὰ πρὸ αὐτῶν τὲ καὶ μετὰ ταῦτα ἀφέλοι (10) οὐδὲ μαθεῖν ἐστιν αὐτά γε καθ' ἑαυτὰ ὅ τι δηλοῖ. Ὁμοῦ δὲ πάντων λεχθέντων συνέντες ἀπεδεξάμεθα ὥσπερ ἀγαπήσαντες ὅτι συνήκαμεν. Ἐνίων δὲ τὰς ἀρχὰς εἰπόντες τὸ λοιπὸν ἀφῆκαν, ὥσπερ καταγνόντες, τὰ δὲ τῆς ἀρχῆς στερήσαντες, ἄλλων δὲ τὰ μέσα ἐξελόντες, ἀποχρῆν ὠήθησαν, ὥσπερ τύραννοί τινες τῶν ὀνομάτων ὄντες. Ἔπειτα δὲ οὐδὲν αὐτοῖς (15) ἀτόλμητον οὐδ' ἄπορόν ἐστιν, ἀλλὰ θεοὺς ἀπὸ μηχανῆς αἴρουσι, καὶ εἰς πλοῦν ἐμβιβάζουσι συμπλεῖν οἷς ἂν αὐτοῖς δοκῆ, καὶ ποιοῦσιν οὐ μόνον συγκαθημένους, ἂν οὕτω τύχοι, τοῖς ἀνθρώποις, ἀλλὰ καὶ συμπίνοντας καὶ λύχνους ἔχοντας φῶς ποιοῦντας. Καὶ ταῦτα δὴ οὕτω μεγαλοπρεπεῖς εἰσίν· ἀφ' οὗ πᾶς ὅδε λόγος ὡρμήθη, ὡς εἰσὶν εὐδαίμονες κατ' αὐτὸν τὸν Ὅμηρον (20) βεῖα ζώοντες, ἐπειδὰν ποιῶσι τοὺς ὕμνους καὶ παιᾶνας τοῖς θεοῖς. Αἱ δὲ στροφαὶ ἢ περίοδοι ἀπεπλήρωσαν τὸ πᾶν. Καὶ Δᾶλον ἀμφιρρύταν εἰπόντες, ἠδὲ τερπικέραυνον, ἢ πόντον ἐρίβρομον, καὶ παρελθόντες ὡς Ἡρακλῆς εἰς Ὑπερβορέους ἀφίκετο, καὶ ὡς Ἰανὸς ἦν μάντις παλαιὸς, ἢ ὡς τὸν Ἀνταῖον Ἡρακλῆς, ἢ Μίνωα, ἢ Ῥαδάμανθυν προσθέντες, ἢ Φά-(25)σιν, ἢ Ἴστρον. ἢ ὡς αὐτοὶ θρέμματα Μουσῶν εἰσι καὶ ἄμαχοί τινες εἰς σοφίαν ἀναφθεγξάμενοι, αὐτάρκως σφίσιν ὑμνεῖσθαι νομίζουσι, καὶ οὐδὲ τῶν ἰδιωτῶν οὐδεὶς πλέον ἐπιζητεῖ παρ' αὐτῶν Οὕτω δὲ σφόδρα αὐτοὺς ἱεροὺς ἄγομεν καὶ σεμνύνομεν ὥστε καὶ αὐτὸ τὸ ποιεῖν τοὺς ὕμνους τοῖς θεοῖς καὶ προσαγορεύειν τούτοις παρακεχωρήκαμεν, ὥσ-(30)περ προφήταις ὡς ἀληθῶς οὖσι τῶν θεῶν. Καὶ οὐδὲ τὸ προσῆκον ὀρθῶς ὑποθέσθαι καὶ διαχειρίσαι τοῖς πᾶσιν ἐξητασμένως ἐστὶ καὶ διὰ πάσης ἐλθεῖν ἀκριβείας εἰς ὅσον ἀνθρώπῳ δυνατὸν τέτακται, οὐδὲν ἡγούμεθα δεῖν πρός γε τοὺς θεοὺς χρῆσθαι, ἀλλ' ἐπὶ μὲν τὰ ἄλλα πάντα ἀγωνίσματα τῶ λόγω χρώμεθα, καὶ πανηγύρεις τὲ ἐγκωμιάζομεν καὶ πράξεις (35) ἀνδρῶν καὶ πολέμους ἀφηγούμεθα, καὶ μύθους ποιοῦμεν, καὶ τοῖς δικαστηρίοις ἀγωνιζόμεθα, καὶ πρὸς πάνθ', ὡς ἔπος εἰπεῖν, ἡμῖν

18. A. D. 1344. — **Thucydides,** Historiae, lib. IV. V. Vollendet 6852 nach Erschaffung der Welt. Siehe Martini-Bassi, *Catalogus . . . Ambrosianae,* II, 880, No. 785. — Minuskel. Papier.

(ἀνέ)μεινεν ἡμέραν γενέσθαι· καὶ ὁ χειμὼν ἐτελεύτα· καὶ ἕνατον ἔτος τῶ πολέμω ἐτελεύτα τῶδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

Θουκυδίδου τοῦ τοῦ Ὀλόρου ἱστοριῶν, πέμπτη.

Τοῦ δ' ἐπιγιγνομένου θέρους αἱ μὲν ἐνιαύσιοι σπονδαὶ διελέλυντο μέχρι (5) Πυθίων· καὶ ἐν τῆ ἐκεχειρία Ἀθηναῖοι Δηλίους ἀνέστησαν ἐκ Δήλου, ἡγησάμενοι κατὰ παλαιάν τινα αἰτίαν οὐ καθαροὺς ὄντας ἱερῶσθαι, καὶ ἅμα ἐλλιπὲς σφίσιν εἶναι τοῦτο τῆς καθάρσεως, ἣ πρότερόν μοι δεδήλωται ὡς ἀνελόντες τὰς θήκας τῶν τεθνεώτων ὀρθῶς ἐνόμισαν ποιῆσαι. Καὶ οἱ μὲν Δήλιοι Ἀτραμύτειον Φαρνάκους δόντος αὐτοῖς ἐν τῆ Ἀσία (10) ὤκησαν, οὕτως ὡς ἕκαστος ὥρμητο.

Κλέων δὲ Ἀθηναίους πείσας ἐς τὰ ἐπὶ Θράκης χωρία ἐξέπλευσε μετὰ τὴν ἐκεχειρίαν, Ἀθηναίων μὲν ὁπλίτας ἔχων διακοσίους καὶ χιλίους καὶ ἱππέας τριακοσίους, τῶν δὲ ξυμμάχων πλείους, ναῦς δὲ τριάκοντα. Σχὼν δὲ ἐς Σκιώνην πρῶτον ἔτι πολιορκουμένην καὶ προσλαβὼν αὐτόθεν ὁπλίτας (15) τῶν φρουρῶν, κατέπλευσεν ἐς τὸν Κολοφωνίων λιμένα, τῶν Τορωναίων ἀπέχοντα οὐ πολὺ τῆς πόλεως. Ἐκ δ' αὐτοῦ, αἰσθόμενος ὑπ' αὐτομόλων ὅτι οὐδὲ Βρασίδας ἐν τῆ Τορώνη οὔτε οἱ ἐνόντες ἀξιόμαχοι εἶεν, τῆ μὲν στρατιᾶ τῆ πεζῆ ἐχώρει ἐς τὴν πόλιν, ναῦς δὲ περιέπεμψε δέκα τὸν λιμένα περιπλεῖν. Καὶ πρὸς τὸ περιτείχισμα πρῶτον ἀφικνεῖται, ὃ προσ-(20)περιέβαλε τῆ πόλει ὁ Βρασίδας, ἐντὸς βουλόμενος ποιῆσαι τὸ προάστειον καὶ διελὼν τοῦ παλαιοῦ τείχους μίαν αὐτὴν ἐποίησε πόλιν. Βοηθήσαντες δὲ ἐς αὐτὸ Πασιτελίδας τὲ ὁ Λακεδαιμόνιος ἄρχων καὶ ἡ παροῦσα φυλακὴ προσβαλόντων τῶν Ἀθηναίων ἠμύνοντο. Καὶ ὡς ἐβιάζοντο καὶ αἱ νῆες ἅμα περιέπλεον ἐς τὸν λιμένα περιπεμφθεῖσαι, δείσας ὁ Πασι-(25)τελίδας μὴ αἵ τε νῆες φθάσωσι λαβοῦσαι ἔρημον τὴν πόλιν καὶ τοῦ τειχίσματος ἁλισκομένου ἐγκαταληφθῆ, ἀπολιπὼν αὐτὸ δρόμω ἐχώρει ἐς τὴν πόλιν. Οἱ δὲ Ἀθηναῖοι φθάνουσιν οἵ τε ἀπὸ τῶν νεῶν ἑλόντες τὴν Τορώνην καὶ ὁ πεζὸς ἐπισπόμενος αὐτοβοεὶ, κατὰ τὸ διηρημένον τοῦ παλαιοῦ τείχους ξυνεσπεσών. Καὶ τοὺς μὲν ἀπέκτειναν τῶν Πελοποννησίων (30) καὶ Τορωναίων εὐθὺς ἐν χερσὶ, τοὺς δὲ ζῶντας ἔλαβον καὶ Πασιτελίδαν τὸν ἄρχοντα. Βρασίδας δὲ βοηθῆει μὲν τῆ Τορώνη, αἰσθόμενος δὲ καθ' ὁδὸν ἐλαφυτίαν ἀνεχώρησεν, ἀποσχὼν τεσσαράκοντα μάλιστα σταδίους μὴ φθάσαι ἐλθών. Ὁ δὲ Κλέων καὶ οἱ Ἀθηναῖοι τρόπαιά τε ἔστησαν δύο, τὸ μὲν κατὰ τὸν λιμένα, τὸ δὲ πρὸς τῶ τειχίσματι, καὶ τῶν Το(ρωναίων)

19. A. D. 1362. — **Plutarch,** Vitae parallelae, Sulla. Agesilaus. Vollendet am 5. Tag der Woche, den 7 April, XV. Indiktion, 6870 nach Erschaffung der Welt, von Μανουὴλ Τζυκανδύλη. Siehe Martini-Bassi, *Catalogus . . . Ambrosianae,* II, 1072, No. 1009; Vogel-Gardthausen, *Die griechischen Schreiber* usw., 281. Siehe die Ausgabe Plutarchs von Sintenis (Bibliotheca Teubneriana) II, 469 und III, 142. — Minuskel. Papier.

